V. 67. τύχᾳ, schol. videntur τύχας legisse. — ἀνορέας δ', Hartung ἀνορέας deleta particula δέ. — V. 69. γλῶσσαν GP1Va1LbBaβγdAab, γλῶτταν W12RMa. — V. 73. πράξαις Paris. (M), v. πράξας. — V. 74. ἀνεγείροντα, P1 κ' ἀνεγείροντα, Aa ἀνεγείραντα. — V. 75. ἐπίνικον, Hartung ἐπὶ νίκᾳ. — V. 78. καν νόμον, κὰν νόμον divisim Va1W1Gu LipMbBdPcM1, vulgo καννόμον (sic Ambr.), P1 καννόμενον a m. pr., W2ARPabMaAaCM2 κἂν νόμον. — ἐρδόμενον, E. Schmidt ἐρδομένων. — V. 81. ἀκούσαις, G ἀκούσᾳς, ceteri ἀκούσας. — Ἰφίων, Pc ὀφίων. — V. 83. ὅν σφι Ζεὺς γένει ὤπασεν Pc, et similiter, nisi quod σφιν exhibent AMaGP1Va1AbC (qui Ζεῦ) Ambr. a m. pr., interpolati ὅν σφιν ὤπασεν Ζεὺς γένει. — V. 85. ἔργα θέλοι, Boeckh ἔργ' ἐθέλοι. — ἀπαλάλκοι, Pc ἀπαλάλκει. — V. 86. μοίρᾳ νέμεσιν, M2 μοῖραν νεμέσιν. — V. 87. ἄγων, Ambr. ἔχων. — V. 88. ἀέξοι, M1 ἄεξον, M2 εὐ ἕξοι.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Θ.

ΕΦΑΡΜΟΣΤῼ ΟΠΟΥΝΤΙῼ

ΠΑΛΑΙΣΤῌ.

Strophae.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓

                ×
⏒ –́ ⏑ ⏑ – ⏑ – – ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒

×   ×
–́ ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒

×   ×
– – –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏒

×   ×
– ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒

⏑⏑́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏒

×
– ⏓ –́ ⏑ ⏑ – ⏑ ⏓

– –́ ⏑ ⏑ – ⏒

⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓

– –́ ⏑ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒

Epodi.

⏑ –́ ⏑ – ⏑ – ⏑ –

⏑ ⏑́ –́ ⏑ – ⏑ – ⏑ – ⏒

⏑ ⏑ –́ ⏑ ⏑ – ⏓

– –́ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏒

–́ ⏑ ⏑ – –́ – –́ –

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏓

– –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –

          ×   ×
– –́ ⏑ – ⏒ – ⏒ –́ ⏑ ⏑ – ⏒ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒

Str. v. 6 antea Boeckh in duos divisit ⏑⏑́ ⏑ – – –́ ⏑ ⏑ – | – –́ ⏑ ⏑ – ⏒.

Στρ. α΄.

Τὸ μὲν Ἀρχιλόχου μέλος
φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς,
ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι
κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον Ἄλιδος
τοιοῖσδε βέλεσσιν,
τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ
ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας·

Ἀντ. α΄.

πτερόεντα δ' ἵει γλυκὺν
Πυθῶνάδ' ὀϊστόν· οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι,
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων
κλεινᾶς ἐξ Ὀπόεντος, αἰνήσαις ἓ καὶ υἱόν,
ἃν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν
μεγαλόδοξος Εὐνομία. θάλλει δ' ἀρεταῖσιν
σόν τε, Κασταλία, παρά
Ἀλφεοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι κλυτάν
Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον.

V. 2. *φωνᾶεν*, PBaGuAa *φωνᾷ ἐν*, quod etiam schol. vet. memorat. — V. 8. *βέλεσσιν* PcW1GP1, *μέλεσσι* ceteri, schol. utrumque. — V. 12. *ἐφάψεαι* G, *ἐφάψαι* Va1P1Ab, *ἐφάψᾳ* AMa, *ἐφάψα* C, *ἐφάψῃ* vulgo. — V. 14. *Ὀπόεντος, αἰνήσαις ἓ καὶ υἱόν, ἃν* Heyne distinxit, ut *αἰνήσαις* sit participium; vulgo *Ὀπόεντος· αἰ. ἓ καὶ υἱόν· ἄν.* Ceterum pro *αἰνήσαις*
ον
Va1 *αἰνόσαις*, Pc *αἰνήσεις*. — V. 16. *μεγαλόδοξος*, *μεγαλόδωρος* Va1Ab. — *θάλλει δ' ἀρεταῖσιν σόν τε, Κασταλία, παρὰ Ἀλφεοῦ τε ῥέεθρον* scripsi, nisi quis praeterea *σόν τ', ὦ Κασταλία* malit, legebatur: *θάλλει δ' ἀρεταῖς ἴσον τε Κασταλίᾳ παρ' Ἀλφειοῦ τε ῥέεθρον*, et sic codd., nisi quod W1PcM1 *ἶσον*, interpolati *ἴσσον*, GP1AbVa1 *Ἀλφεοῦ*. Schol. 2 et 3 *Κασταλίας* legunt, sed de constructione dissentiunt, schol. 3 *ἴσον* testatur. Boeckh *θάλλει δ' ἀρεταῖσιν ἔν τε Κασταλίᾳ παρὰ κτλ.* similiter Hermann, nisi quod versum asynartetum esse statuit et *παρ' Ἀλφειοῦ* scribit, Rauchenstein *θ. δ' ἀρ. αἰεὶ Κασταλίαν πάρα*, Kayser *θ. δ' ἀρ. κράναν Κασταλίας κτλ.* Ahrens *ἶσον Κασταλίας τε παρ' Ἀλφεοῦ τε ῥεέθρων*, Hartung *ἶσον Κασταλίᾳ παρ' Ἀλφειοῦ τε ῥ.* Iam Ambros. codex plane exhibet, quod Boeckh coniectura assecutus erat, *ἀρεταῖσιν ἔν τε*, vel sic tamen meam emendationem tueor, quae a litterarum vestigiis, quae reliquorum codicum consensus firmat, plane non discedit, atque scholion cod. Ambros. meam coniecturam videtur commendare, sed Mommsen illud scholion non addidit. — V. 19. *ἄωτοι*, Hartung *ἄωτα.* — *κλυτάν*, M2 *κλυτᾶν*, Pc *κλειτάν*.

ἐγὼ δέ τοι φίλαν πόλιν 'Επ. α'.
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾳ̃
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'· ἀγαθοὶ δὲ καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες

Στρ. β'.

ἐγένοντ'. ἐπεὶ ἀντίον
πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε χερσίν,
ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν,
ἤρειδεν δέ μιν ἀργυρέῳ τόξῳ πελεμίζων
Φοῖβος, οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ' ᾇ κατάγει κοίλαν πρὸς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

'Αντ. β'.

μανίαισιν ὑποκρέκει.
μὴ νῦν λαλάγει τὰ τοιαῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον
κτησάσθαν λίθινον γόνον·

V. 24. *παντᾳ̃*, v. *παντᾶ*, W1M12 *πάντα*, W2 *πάντᾳ*. — V. 25. *πέμψω*, Sch. in paraphr. *ἐκπέμπω* et *πέμψω*. — V. 28. *ὤπασαν*, Pc *ὄπασαν*. — Deinde Aristid. II 35 sic laudat *ἀγαθοὶ δὲ φύσει καὶ σοφοὶ κτλ.* — V. 29. *ἐγένοντ'. ἐπεὶ ἀντίον πῶς ἂν* PVa1AbP1GPc cod. Victor. (nisi quod codd. *ἐγένοντο*) Schol., qui praeterea etiam *ἀντία*, vulgo *ἐγένοντο· ἐπεὶ ἔναντ' ἄν*, AMaC *ἐγένοντο· ἐπεὶ ἔναντ' ἂν πῶς ἄν*. — V. 30. *σκύταλον* A Bodleiani Ma (a m. pr.) P1Va1GuLabAbW2, *σκυτάλην* RMbAa W1. — V. 32. *ἤρειδεν δέ* Hermann, v. *ἤρειδέν τε*, Pc *ἤρεισέ τε*. — *πελεμίζων* scripsi, legebatur *πολεμίζων*. — V. 34. *πρὸς*, *ἐς* M2 lemma schol. Vratisl, aliique codd. a Mommseno collati, quod praefert Mommsen, ac fort. etiam schol. v. 50 ita legit. — V. 42. *ἄστει*, La *ἄστυ*. — *γλῶσσαν*, Hecker *μοῖσαν*. — V. 43. *Παρνασοῦ* AMaVa1 (Bc *Παρνάσους*), v. *Παρνασσοῦ*. — V. 45. *κτησάσθαν*, scholiasta cum *ἐποιήσαντο* interpretatur, fortasse *κτισσάσθαν* legit.

λαοὶ δ' ὀνόμασθεν.
ἔγειρ' ἐπέων σφιν οἶμον λιγύν,
αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων

Ἐπ. β'.

νεωτέρων: λέγοντι μάν
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλά
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ' ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι,
ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας
κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν, ἐγχώριοι βασιλῆες αἰεί,

Στρ. γ'.

πρὶν Ὀλύμπιος ἁγεμών
θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις, ἕκαλος

V. 46. *λαοὶ*, Schneidewin *Λαοί*. — *ὀνόμασθεν*, exspectaveram *ὀνύμασθεν*. — V. 47. *οἶμον* libri omnes; Schol. vet. *οἶμον* et *ὅρμον*, schol. rec. *οἶμον* et fort. *ὕμνον*, id quod coniecit Hecker. Eleganter Gedike coni. *οὖρον*. — V. 52. *ἀνάπωτιν* W1AaMb, *ἀνάπωσιν* RPabM1W2Lip GnLab alii, *ἄμπωτιν* AGP1PcMaCVa1AbR(in m.)M2 Sch. vet. — V. 53. *δ'* fort. del. — *ἔσσαν*, M2Pc et lemma sch. vet. *ἔσαν*, W2 *αἶσαν*. — V. 54. *πρόγονοι*, comma et hic posui (ubi vulgo nulla interpunctio) et v. 56 post *αἰεί*, ubi vulgo plene interpungitur, et hoc Hermann quoque suasit. — V. 56. *κορᾶν καὶ* AMaCP1Va1GAb, *κουρᾶν καί* Pc, *κορᾶν τε* interpolati plerique ut vulgo, nisi quod *κορῶν τε φερτάτων τε* M1W2Gu LabLip. Locus gravissimis difficultatibus laborat, quas expedire nuper conatus est Bossler (Philol. XX 202 seq.) Friederichsio tamen omnia plana et expedita sunt, Hartung scripsit *πρόγονοι ἀρχᾶθεν, Ἰαπετιονίδος φύτλας· κοῦροι Ἀκύρουν τε φερτάτων Κρονιδᾶν ἐγχώριοι βασιλῆες αἰεί, πρὶν*. Ego in his tenebris nihil dispicio, in epecdosi haec adnotavi: *Κρονιδᾶν*, antiquus, sed manifestus error subest, quem non sustulit Hermann *Λελέγων* corrigens (quamquam probavit Schneidewin, qui praeterea *παμφερτάτων* coniecit), postea Hermann *κοῦροι κόραι τε φερτάτων Λελέγων* scripsit. Videtur nomen gentis delitescere, ad quam Epharmostus quoque stirpem referebat. Gentis ultimus auctor in matrimonium duxerat Protogeniam, Deucalionis et Pyrrhae filiam (haec est Ἰαπετιονὶς φύτλα, errant interpretes, qui Protogeniam Opuntis filiam fingunt, cuius nomen Pind. fortasse ipse ignoravit). Protogeniae igitur eiusque mariti posteri sive nepotes dicuntur Locris imperasse, usque dum Opuntis filia ascita alienus sanguis genti admixtus est. Iam cum *κοῦροι κούρων φερτάτων eius, cui Protogenia nupsit* dicendum esset, substituit patronymicum, quod quale fuerit, vix probabiliter indagari potest. Coniiciat aliquis *Λοκριδᾶν*, quod tamen non unam ob causam displicet. Tentavi *Θρονιδᾶν*, nota est Locrorum urbs *Θρόνιον*, nec obstat quod Schol. Homer. Il. *B* 532 a nympha Thronia nomen traxisse tradidit. *Κυνιδᾶν* et ipsum aptum foret, cum Deucalion Cyni domicilium collocasse feratur. vid. Sch. Theocrit. XV 141, sed prosodia sueta adversatur. — V. 58. *θύγατρ'* AMaP1AbVa1, *τὰν παῖδ'* ex interp. reli-

μίχϑη Μαιναλίαισιν ἐν δειραῖς, καὶ ἔνεικεν
Λοκρῷ, μὴ καϑέλοι νιν αἰὼν πότμον ἐφάψαις
ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
ἄλοχος, εὐφράνϑη τε ἰδὼν ἥρως ϑετὸν υἱόν,
μάτρωος δ' ἐκάλεσσέ νιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφατον ἄνδρα μορφᾷ τε καί
ἔργοισι. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.

Ἀντ. γ'.

ἀφίκοντο δέ οἱ ξένοι
ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
Αἰγίνας τε Μενοίτιον. τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύϑραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκᾶντας Δαναοὺς τρέψαις ἁλίαισιν
πρύμναις Τήλεφος ἔμβαλεν·
ὥστ' ἔμφρονι δεῖξαι
μαϑεῖν Πατρόκλου βιατὰν νόον·
ἐξ οὗ Θέτιός γ' ὄζος οὐλίῳ νιν ἐν Ἄρει

Ἐπ. γ'.

παραγορεῖτο μή ποτε

qui ut videtur. — Ὀπόεντος AGMaAbVa1Gu (a m. s.) P1, vulgo Ὀποῦντος. — ἀναρπάσαις Va2, ceteri ἀναρπάσας. — V. 60. μὴ καϑέλοι, Hartung μὴ 'πολίποι, ego dubitanter conieci μὴ καϑέλοι νιν αἰῶ (i.e. αἰῶνα) πότμος ἐφάψαις ὀρφανόν γενεᾶς. — νιν Paris. (M), v. μιν. — V. 61. ἔχεν ARCGuMabLabW12, ἔσχεν M2BcAa, vulgo ἔχε. — V. 63. νιν Paris. (M), v. μιν. — V. 64. ἰσώνυμον, Hartung συνώνυμον. — V. 65. ὑπέρφατον, Va1 ὑπέρτατον, Ambr. ὑπέρφυτον. — V. 66. λαόν GVa1Gu (a m. s.) λαῶν AC, vulgo λεών. Goram Λαῶν τε δίαιταν requirit. — V. 68. οἱ δ' Sch. vet. AGCP1 (a m. pr.) AbW2, ἠδ' Va1, vulgo ἰδ' Ἀρκάδες. — οἱ δὲ καί, Pc οἱ καί, M2 οἱ δέ. — V. 69. υἱὸν AMaGCP1AbVa1 sch. vet., vulgo υἷα. — ἐξόχως in M2 deletum, sed videtur aliud quid scriptum fuisse. — V. 71. Τεύϑραντος, libri, Schmid male Τεύϑρανος. — V. 72. ἀλκᾶντας, contractam formam omnes libri videntur exhibere. — τρέψαις Va2, ceteri τρέψας. — V. 74. ὥστ' ἔμφρονι δεῖξαι μαϑεῖν, iure Hartung in miro hoc genere dicendi offensus est, sed quod suspicatur legendum esse ἔμβαλ', ὥς τιν' ἔμφρον' ἰδόντ' ἂν μαϑεῖν vix cuiquam probabit. Credo Pindarum scripsisse ὥστ' ἔμφρονα δεῖσαι μαϑεῖν: prudens enim atque cautus verebatur Patrocli impetum experiri. — V. 75. νόον ABdcPabGCGuMaAbLabVa1W2, vulgo νόον γ', Pc καὶ νόον, unde noli βίαν καὶ νόον coniicere. — V. 76. Θέτιός γ' ὄζος οὐλίῳ scripsi, libri Θέτιός γόνος οὐλίῳ, Bothe Θέτιός γ' ἶνις οὐλίῳ, Hermann olim Θέτιός γ' οὐλίῳ γόνος, nunc Θέτιος βλαστὸς οὐλίῳ, Schneidewin Θετιόγνητος οὐλίῳ, Hartung Θέτιός γ' υἱὸς, Ahrens Θέτιος γίννος, quod a Pindaricae poesis gravitate longissime abhorret. — νιν APcGMaP1AbVa1 alii ap. Momms., vulgo μιν.

σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς.
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις, ὅτ' ἀμφότεροι
κράτησαν

Στρ. δ'.

μίαν ἔργον ἀν' ἁμέραν.
ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα
χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτωτὶ δαμάσσαις
διήρχετο κύκλον ὅσσᾳ βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

Ἀντ. δ'.

τὰ δὲ Παρρασίῳ στρατῷ
θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυ-
καίου,

V. 78. *ταξιοῦσθαι*, Pc *ταξιοῖσθαι*. — V. 80. *εὑρησιεπὴς*, Schol. (et M12) etiam *εὑρεσιεπὴς*. — V. 83. *ἕσποιτο*, in proecdosi *ἕποιτο* scripsi. Ambr. *ἕσποιτ' αἰεί· προξενίᾳ*, sed lemma scholiorum *ξενίᾳ*, itaque cum Mommseno *ἕσποιτ' αἰεί· ξενίᾳ* scripsissem, si de virtute huius libri plane constaret. — *ἦλθον*, PcM2 *ἤλυθον*, sch. vet. utrumque. — V. 85. *ἔργον*, Ambr. *ἔργον*. — V. 87. *ταὶ*, lemma schol. vet. *τὰ*. — V. 88. *κῦδος*, Hecker *κῦρος*. — V. 89. *οἷον δ'*, Mb et lemma unum sch. vet. *οἷον*, Schol. etiam *οἷον δ'*, Schmid *οἷα δ'*, et sic etiam unus sch. Mihi neutra lectio germana videtur, credo poetam scripsisse *οἶνον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων*. Inter pueros nomen professus erat, sed cum iam adultior videretur, non admissus est: non tamen recedit a certamine, sed continuo in virorum certamen descendit ac victoriam reportavit: itaque poeta dicit, cum puerorum praemio privatus esset propter aetatem, consecutus est virorum honores: videntur autem pueri victores in ludis Herculeis Marathoniorum vini amphoram accepisse, cum viris argenteae phialae proponerentur: nisi forte victoribus pueris vini tantum poculum bibendum praebebant, id quod Oschophoriorum exemplum probare videtur. Ahrens coniecit *σῦλ' ἀνθεὶς*. — V. 92. *ἀπτωτὶ* scripsi, legebatur *ἀπτῶτι*, sed recte Schol. *τὸ δὲ ἀπτῶτι ἐπιρρηματικῶς*. Hartung scripsit *ὀξυρεπεῖ δόλῳ τ' ἀπτῶτι*. — *δαμάσσαις* Va2, reliqui *δαμάσσας*. — V. 94. *ῥέξαις* Va2 Paris., W1Pc *ῥίξας*. — V. 95. *τὰ δὲ*, Hartung *ἃ δέ*.

καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος ἐναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι.
ἄνευ δὲ θεοῦ σεσιγαμένον
οὐ σκαιότερον χρῆμ' ἕκαστον· ἐντὶ γὰρ ἄλλαι

Ἐπ. δ'.

ὁδῶν ὁδοὶ περαίτεραι,
μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μέν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ' ἀλκάν·
Αἰάντεόν τε δαίθ' ὅσ' Ἰλιάδα νικῶν ἐπεστεφάνωσε
βωμόν.

V. 98. *Πελλάνᾳ*, *Πελλάνα* M12W(1)2, *Πέλλανα* Pc, *Πελλάνα παρέχει* Sch. Nem. X 82. — V. 99. *ἀγλαΐαισιν*, *ἀγλαΐαισι μέμικται* AMaAb, *ἀλίαισι μέμικται* Va1 (ex Ol. I 90.) — V. 100. *πολλοὶ δὲ διδακταῖς ἀνθρώπων ἀρεταῖς κλέος ὤρουσαν ἀρέσθαι*, Hartung *διδακτοῖς ἀν. ἀρετὰς κλέος τ' ὤρ. ἑλέσθαι*, hic ut alias insigni Pindari urbanitate non perspecta. — V. 102. *ἀρέσθαι* Ambr., quod ipse iam in epecdosi proposui, usus Aristidis testimonio II 35 ubi *αἱρεῖσθαι* legitur. Ceteri Pindari libri *ἑλέσθαι*, nisi quod PcM2 *ἀνελέσθαι*. — V. 103. *ἄνευ δὲ*, *ἄνευθε δὲ* AMaLaGuBd, unde Boeckh *ἄνευθε θεοῦ*. — *σεσιγαμένον* AMa Bodleiani GCLipVa1GuP1AbLabW2Pc, vulgo *σεσιγαμένον γ'*. — V. 107. *σοφίαι*, *σοφίας* Mb a m. pr. — *μέν*, Schmid *μάν*. — V. 108. *ἄεθλον* lemma sch., v. *ἆθλον*. — V. 109. *ὤρυσαι* indignum Pindari venustate vocabulum, Ahrens *ἄρυσαι* coniecit, sed si quid video id correpta primore vocali dici solebat, vid. Et. M. 134, 12. Ego suspicor legendum esse *ὤριξαι* i. e. *ὀάρισαι*, quamvis mediae formae exemplum non novi: sed contractionem tuetur Homeri hymnus in Merc. v. 58. Praeterea Ahrens *ὄρθια γάρυσαι* suadet. — *θαρσέων*, *θαρσῶν* W2PabBadGuLbM1, *θαρρῶν* La. — V. 110. *δαιμονίᾳ* AMaCGVa1P1Ab sch. vet. et Schol. Il. *B* 367, vulgo *δαιμονίως*. — V. 111. *ὁρῶντ' ἀλκάν*, Hermann cum prius *δεξιόγυιον ὁρῶν τ' ἀλκάν* coniecisset, ut id ad seqq. referatur, nunc *ὁρῶντ'* servat, sed interpunct. post *δεξ.* deleta. — V. 112. *Αἰάντεόν τε δαίθ' ὅσ' Ἰλιάδα* scripsi, vulgo ut in libris interpolatis *Αἰάντεόν τε* (vel *γε*) *δαίθ' ὃς Οἰλιάδα*, lemma sch. *Αἰάντειόν* (*Αἰάντιόν*) *τ' ἐν δαιτὶ Ἰλιάδα*, et *Αἰάντειον* ARPcP1GMaAbVa1 alii, *τ' ἐν δαιτὶ* AMaGCAbP1Va1Pc, *ἐν* schol. 1 non legit, sed reperit schol. 2 qui pessime *ἐν δαιτὶ* iungit cum *νικῶν* et *ἐν τῷ ἀγῶνι* interpretatur. *Οἰλιάδα* AabP1Lb, *Ὀϊλιάδα* M2Va1, *Ὀϊλιάδου* La, *Οἰολίδα* G corr., *Ἰλιάδα* recte ARMab(Gu *Ἰλιάκα*)M1 Schol. vet. Denique pro *ὃς* exhibent *ὅστ'* W12ARMaGLaM1, plane omittunt AbGVa1Pc. Boeckh edidit *Αἰάντεόν τ' ἐν δαίθ' ὃς Ἰλιάδα*, Hermann coni. prius *Αἰαντέων ἐν δαιτὶ Ἰλιάδα*, nunc vero *Αἰαν, τεόν τε δαιτί*,


Ἰλιάδα, νικῶν ἐπ. β. qnae coniectnra sane perquam elegans est, neque tamen satis facit, Goram Αἰάντεόν τ' ἐλαΐᾳ Ἰλιάδα νικῶν τ' ἐπιστεφανῶσαι βωμόν metro vitiato, Hartung Αἰάντεόν θ' ὃς δαιτὶ Οἰλιάδα. Fuisse apud Locros solennitatem in Aiacis honorem institntam et cnm ea gymnica certamina coninncta sane est veri simile, qnamquam scholiastae fortasse ex hoc ipso loco coniectura assecuti sunt: sed recte monet Boeckh, frustra adversante Schneidewino, non esse commodum, post enumeratas Epharmosti victorias hic domesticam laudem commemorari, quam semel sit consecutus: sin plurimas domi nactus erat victorias, id plane dicendum: sed neqne hoc satis conveniens: nam hic, nbi poeta paucis laudem victoris comprehendit, debebat in novissimo praesertim carmine gravissima tantnm commemorare. Eo igitnr nomine etiam Heynii interpretatio reprobranda, quam Boeckh alii seqnuntnr, victorem Olympia reducem sacra fecisse Aiaci et coronam hnic heroi consecravisse. Poetam, cnm virtutes et mores Epharmosti illnstrare vult, non qnod semel, sed qnod saepissime fecit, hic significare oportebat. Itaque vitium inveteratum lenissima mutatione procnravi: poeta insignem Epharmosti liberalitatem laudat, qui solebat, cum victoriam consecutns esset, non solnm sacra facere Aiaci, sed etiam solennibns his epulis adhibere cognatos ac familiares: atque cnm hoc ipsum carmen tali solennitati destinatum fuerit, facile apparot, qnam lepida ac festiva carminis clausula usus sit. Ceterum possis etiam scribere Αἰάντεον δὲ δαιτὶ Ἰλιάδα νικῶν ὅσ' ἐστεφάνωσε βωμόν, nam Ἰλεύς olim Aeolica littera haud caruisse auctior forma Οἰλεύς fidem facit.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ι. (ΙΑ.)


ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

ΠΑΙΔΙ ΠΥΚΤΗι.

Strophae.



Epodi.



„In carminis inscriptione vulgo aberat *παιδί*, sed scripsi *παιδὶ πύκτῃ* ex RGP1(PcW12) ut Ol. VIII *παιδὶ παλαιστῇ*. Idem *παιδί* comparet in ABβγMab aliis, sed contra usum inscriptionum in Pindaricis carminibus genitivo *Ἀρχεστράτου* partim praemisso partim subiecto. In Mb titulus a recentiore manu scriptus est eadem, quae quinque priores versus ante deperditos supplevit. Puerum autem vicisse Agesidamum ex commemoratione Ilae magistri (*ἀλείπτου*) v. 18 recte collegit Heynius: sicut Ol. VIII Alcimedontis pueri magister Melesias v. 54 memo-

Στρ. α΄.

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
Ἀρχεστράτου παῖδα, πόθι φρενός
ἐμᾶς γέγραπται· γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέ-
λαϑ᾽· ὦ Μοῖσ᾽, ἀλλὰ σὺ καὶ
ϑυγάτηρ
Ἀλάϑεια Διός, ὀρϑᾷ χερί
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.

Ἀντ. α΄.

ἕκαϑεν γὰρ ἐπελϑὼν ὁ μέλλων χρόνος
ἐμὸν καταίσχυνε βαϑὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος ὀνάτωρ·
νῦν ψᾶφον ἑλισσομέναν

ratur. Confer etiam extremos buius carminis versus.“ *Boeckh.* In constituendis uumeris ad Boeckhii descriptionem redii, nisi quod diagramma v. 3 epodi paulo aliter descripsi; Boeckb buuc versum sic digcssit:

– ◡́◡ ◡ ◠ –́ ◡ ◠ – –́ ◡ ◡ – ◡◡ – ◡ ⏒

Consociata suut hoc versu trimeter creticus sive paeonicus et tetrapodia logaoedica: primo autem cretico mediam syllabam brevem subtraxit poeta, ut hic pes iam spondei speciem referat: semel tamen v. 57 intcger creticus est servatus. Creticos dixi ternos hos pedes, quoniam formam sescupli generis prae se ferunt; igitur si quinorum temporum sunt pedes, Pindarus hic numerorum μεταβολῇ usus est, sed possunt etiam ad trochaicum numerum revocari, quemadmodum simillimus versus manifesto trocbaeis constans legitur Isthm. VIII 8 item in stropba logaoedici generis. Errat Rossbach (Metr. III 520), qui huius versus priorem partem ad iambicum numerum revocavit: nam dactylus, quem iambi vice fungi Rossbacb censet, a Pindari arte abhorret: assensus tamen est L. Schmidt de vita Pindari p. 113, qui cum dicit meam rationem artis metricae legibus adversari, bic quoque quemadmodum aliis locis ostendit se postprincipia artis non attigisse. — Ceterum notabile est hoc carmen brevibus plerumque syllabis in versu novissimo adhibitis, quod videtur nou casu factum, sed artis esse: cf. Mar. Vict. I 17, 24: „Nam Aristoxenus musicus dicit breves finales in metris, si collectiores sint, eo aptiores separationi versus a sequente versu fieri; idcircoque in sexta sede (*trimetri*) trisyllabos figura non ponitur, quia moram habet: at contra disyllabos familiaris cst, quia celerius desinit, et eo magis, si posteriorem syllabam brevem habueriut (scr. *habuerit*).“

V. 3. ἐμᾶς, ALip ἡμᾶς. — σὺ καὶ, Pc σύ. — V. 7. ἐπελϑὼν, Aa ὑπελϑὼν. — V. 8. ἐμὸν PcAGMaVa1P1Ab Schol. vet. Aa (a m. pr.) W1, vulgo ἁμόν, M1 ἀμόν. — καταίσχυνε Va1 ut videtur, καταισχύνει AMa GP1AbM2 Sch. vet., κατείσχυνε W1, vulgo κατήσχυνε. — V. 9. ὅμως δὲ, lemma sch. ὅμως δέ γε. — ἐπιμομφὰν, quod sch. vet. habet ἔτι μομφὴν, librariorum error videtur. — τόκος ὀνάτωρ Hermann, τόκος ϑνατῶν AGP1Va12CMaAbM2Gu (a m. s.) Schol., γε τόκος ϑνατῶν Pc et Paris. ap. Momms., ὁ τόκος ἀνδρῶν libri interpolati. Rauchenstein γε τόκος· ἄϑρει, Kayser τόκος· ἄϑρησον. Schneidewin τόκος· ὁρᾶτ᾽ ὧν νῦν κτλ. Mommsen γε τόκος ἀνδρῶν, quod probant Friederichs et L. Schmidt.

ὁπᾷ κῦμα κατακλύσσει ῥέον,
ὁπᾷ τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.

Ἐπ. α'.

νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων,
μέλει τέ σφισι Καλλιόπα
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον
Ἡρακλέα· πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν
Ἴλα φερέτω χάριν
Ἀγησίδαμος ὡς
Ἀχιλεῖ Πάτροκλος.
θήξαις δέ κε φύντ' ἀρετᾷ ποτὶ
πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμαις.

Στρ. β'.

ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες,
ἔργων πρὸ πάντων βιότῳ φάος.

Tentari possunt alia, quemadmodum ego aliquando conieci τόκος ἔνα· τῷ νῦν ψᾶφος ἑλισσομένα etc. ut sensus sit: quare age nunc cura ut calculus per abacum volutus aeris alieni acervum destruat, sed Hermanni coniectura, quamvis non satis certa sit, tamen probabilitate facile reliquas superat. — V. 10 et 11 ὁπᾷ scripsi, vulgo ὅπα utroque loco. — κατακλύσσει, κατακλύσει PabcMabW12BdP1Va1Aa M12. — Hartung scripsit νῦν ψᾶφον ἑλισσομέναν ὅταν κῦμα κατακλύσσῃ ῥέον, ὅταν τε κτλ. — V. 13. Ἀτρέκεια πόλιν libri, idque agnoscit schol. 4, sed sch. 1 ἀτρέκειαν πόλις (quod etiam in uno Vaticano reperit Mommsen), schol. 2 fortasse ἀτρεκείᾳ πόλις, quae lectiones non minus metro adversantur, quam tertia scriptura, quam sequitur schol. 3 νέμει γὰρ ἁ τραχεῖα πόλις Λοκρῶν, quam Didymus quoque probavit. Mommsen Ἀτρέκεια πόλις probat i. e. πόλιας, quod codex Leidensis a m. pr. exhibet. — Ζεφυρίων, plerique antiqui libri ap. Momms. videntur Ἐπιζεφυρίων habere. — Ceterum Schneider ἀτρέχεια doricam formam restituendam coniecit. — V. 15. Κύκνεια Hermann olim (nunc Κυκνέϊα metro aliter descripto), v. Κυκνεία, PcM2 alii κυκνέα. — V. 16. Ὀλυμπιάδι, Pc ὀλυμπία. — V. 17. Ἴλα, Ἰόλᾳ APcAbP1, Schol. vet. utrumque, rec. Ἴλᾳ. — V. 20. θήξαις cod. Vict. Va2 et duo alii ap. Momms., v. θήξας. — κε, καὶ PcVa1GAb P1 (a m. pr., sed γε corr.). — φύντ' Schol. vet. AbG (a m. pr.) Va2 cod. Vict., vulgo φῶτ', unde conieci φῶντ', cf. Hesych. φῶντα· λάμποντα. Kayser θήξαις δὲ φυᾷ κρατερὸν π. π. ὥρμασεν κλέος. Rauchenstein θήξαις δὲ φυὰν ἀκόνᾳ vel θήξαις δέ μιν ὥτ' ἀκόνᾳ, Hartung θῆξαι δέ κε . . . ὁρμᾶσαι. — V. 21. ὁρμάσαι GVa1 et sic sch. vet. legit, ὁρμᾶσαι Ab, ὡρμάσαι AMaP1, vulgo ὥρμασεν (Pc ὥρμησεν). — παλάμαις Va2 et Leidensis ap. Mommsenum, vulgo παλάμᾳ, quod scholiasta quoque agnoscit. — V. 22. χάρμα, Hartung χάρμαν. — V. 23. ἔργων RP1Va1 PcW12 alii, ἔργῳ Bc, vulgo ἔργον, et sic ACGAb. Quod dicit schol. τὸ χάρμα τὸ ἀπὸ τῆς νίκης ἁπάντων ἐτῶν τοῦ βίου φάος εἴρηκεν, nisi librarii error subest, legit: ἐτεῶν προπάντων, cf. Hesych. ἐτεά, ἀγαθά, ἀληθῆ.

ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν ἀρχαίῳ
σάματι παρ Πέλοπος
βωμῶν ἰσάριθμον [Ἡρακλέης] ἐκτίσσατο,
ἐπεὶ Ποσειδάνιον
πέφνε Κτέατον ἀμύμονα,

Ἀντ. β'.

πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον
ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
πράσσοιτο, λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε
καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ,
ὅτι πρόσθε ποτὲ Τιρύνθιον
ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖς ἥμενον Ἄλιδος

Ἐπ. β'.

Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας

V. 24. *ἐξαίρετον*, Hermann *ἐξήριτον* coniecit, cuius glossa sit *ἐξάριθμον*, quod vulgo v. 25 legitur, sed *ἐξήριτον* an graecum sit satis incertum. — V. 25. *βωμῶν ἰσάριθμον [Ἡρακλέης] ἐκτίσσατο* scripsi, legebatur *βωμὸν* (GVa2M2 *βωμῷ*, *βωμῶν* unus Medic. ap. Momms. et sic lemma schol.) *ἐξάριθμον* (Va1 *ἐξώριθμον*) *Ἡρακλέης ἐκτίσατο* (APbG P1 *ἐκτίσσατο*, Mb *ἐκτήσατο*), unde Triclinius *βίῃ Ἡρακλέος ἐκτίσσατο* probante Hermanno. Unus Ambros. *βωμῶν ἐξάριθμον ἐκτίσσατο* omisso vocabulo *Ἡρακλέης*, quod explicandi gratia antiquitus fuit adscriptum, id quod iam in prima editione perspexi, ubi etiam *βωμὸν* sive *βωμῷ* parepigraphen esse ratus *πατὴρ ἐξάριθμον ἐκτίσσατο* scripsi. Scholiastae partim *βωμῷ* (vel potius *βωμῷ θ'*) *ἐξάριθμον ἐκτίσσατο* legebant, h. e. ad antiquum tumulum et aram Pelopis certamina sena condidit, partim *βωμῶν ἐξάριθμον*, ut est in Ambros., h. e. certamen cum senis aris condidit; probavit hoc Mommsen: at durum et insolens genus dicendi, neque credibile Pindarum voce *ἐξάριθμον* usum esse; itaque neutra lectio ferenda. Poterat dici *βωμῶν θ' ἓξ ἀριθμὸν ἐκτ.*, h. e. certamen et sex ararum seriem sive ordinem condidit: sed praestat *βωμῶν ἰσάριθμον* (*ἀγῶνα*) *ἐκτίσσατο*, h. e. Hercules sicut senas aras ita etiam totidem certaminum genera instauravit: quoniam littera *I* producitur, scriptum erat *εἰσάριθμον*, inde erroris origo repetenda. Genitivum asciscit *ἰσάριθμος*, quemadmodum *ἰσοδρόμος*, *ἰσόμορος*, alia, sed apud Soph. Elect. 120 scribendum *λύπης ἀντίρροπον ἄχθος*, ut omnis ambiguitas evitetur. Ceterum ipse in epecdosi audacter novavi *παρ Πέλοπος σταθμῶν' Ἡρακλέης ἐκτίσσατο*, ratus cum substituta esset vulgaris forma *σταθμὸν* et explicandi gratia *βωμὸν* adscriptum, inde ortum esse *βωμὸν ἐξάριθμον*. Kayser scripsit *ὃν . . . ἔθηχ' ἐξάριθμον Ἡρακλέης*, Rauchenstein *τὰ πρῶθ' ἐξάριθμον ἐκτίσσατο*, Hartung *ἰσχὺς Ἡρακλέος ἐκτίσσατο*. — V. 28. *Αὐγέαν*, Va1 *Αὐγέα*, G a m. pr. *Αὐγέᾳ*. — V. 29. *ἀέκονθ'* AP1PcMaGCAbVa1, v. *ἄκονθ'*. — V. 30. *δοκεύσαις* Va2, v. *δοκεύσας*. — *καὶ κείνους* Boeckh, v. *κἀκείνους*. — *ἐφ' ὁδῷ*, schol. etiam *ἐφόδῳ*. — V. 32. *αὐτῷ*, Va1 *αὐτοῦ*. — V. 33. *ἥμενον* quod etiam schol. tuetur PcGAbP1M2Va1, *ἅμενον* APbBdαβγAaLabLipCW12 Mab(a m. pr.)M1Gu, *ἅμμενον* R, Heyne *ἥμενοι*, Thiersch *ἡμένῳ*.

'Επειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν ἴδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρί
πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας
ἵζοισαν ἑὰν πόλιν.
νεῖκος δὲ κρεσσόνων
ἀποθέσθ' ἄπορον.
καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
ἁλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.

Στρ. γ'.

ὁ δ' ἄρ' ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατόν
λαίαν τε πᾶσαν Διὸς ἄλκιμος
υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ· περὶ δὲ
πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε, τὸ δὲ κύκλῳ πέδον
ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

Ἀντ. γ'.

μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον
Κρόνου προσεφθέγξατο· πρόσθε γάρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι.
ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

Ἐπ. γ'.

χρόνος τόδε σαφανὲς ἰὼν πόρσω κατέφρασεν,

V. 35. 'Επειῶν βασιλεὺς, M2 βασιλεὺς 'Επειῶν, et sic ut videtur plerique libri antiqui, sed duo codd. ap. Mommsen. firmant vulg. lectionem. — V. 41. καὶ κεῖνος Boeckh, v. κἀκεῖνος. — ἀβουλίᾳ, PcM2 lemma sch. ἀβουλίαις. — V. 42. ἀντάσαις Boeckh, ἀντιάσας AMaAbGCP1Gu(a. m. s.)M2PcVa1, v. ἀντήσας. — V. 43. ἔλσαις Va2, ceteri ἔλσας. — V. 44. λαίαν P1Pc (supra λεῖαν), λαῖαν M2AbVa1G (supra λεῖαν), vulgo λείαν. Hesych. λαιάν· ἐκκλησίαν, κτῆσιν. Δωριεῖς ἐπὶ τῆς λείας. Ahrens λάαν praeferre videtur. — V. 45. πάξαις Va2, ceteri πάξας. — Ἄλτιν libri ut videtur omnes (solus Pb Ἄλιν, M1W2 Ἄλτιν) quemadmodum Leptines, Aristodemus, Dionysius emendarunt, cum Ἄλιν reperissent, cf. Pausan. V 10, 1. — ὅγ', GuM1 ὅδ'. — V. 46. πέδον ἔθηκε, PcM2 δάπεδον θῆκε. — V. 48. τιμάσαις Va2 Paris., ceteri τιμάσας, Hermann ἀγάλλων. — V. 51. νώνυμνος, PcM2 alii νώνυμος, AP1Va1Ab νώνυμον, Sch. rec. νώνυμνον. — V. 53. ὅ τ' ἐξελέγχων, Hartung ὁ δ' ἐξελ. — V. 55. χρόνος τόδε σαφανὲς ἰὼν πόρσω κατέφρασεν emendavit Hartung, legebatur χρόνος· τὸ δὲ σαφανὲς ἰ. π. κ., scholiastae haud dubie post χρόνος interpunxerunt, nam iungunt χρόνος cum παρέσταν, praeter

ὀπᾷ τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ πενταετηρίδ' ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι ποσίν τε καὶ ἅρματι,
ἀγώνιον ἐν δόξαν θέμενος, εὖχος ἔργῳ καθελών;

Στρ. δ'.

στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον
ποσσὶ τρέχων, παῖς ὁ Λικυμνίου
Οἰωνός· ἷκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων· ὁ δὲ πάλᾳ
κυδαίνων Ἔχεμος Τεγέαν·
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος,
Τίρυνθα ναίων πόλιν·
ἀν' ἵπποισι δὲ τέτρασιν

schol. 3, quidicit ἕτεροι δὲ οὕτω σαφανὲς, ἵν' ᾖ τὸ σαφὲς, ὑφὲν ἀναγινώσκουσιν, ὡς τὴν ἄνω διάνοιαν. Legebant enim pessime veteres τὸ δ' ἐς ἀφανὲς ἰὼν (ita etiam M2 et alii codd. Mommseni, Med2 praeterea πρόσω exhibet), quae verba fuerunt qui sic ordinarent τὸ δὲ ἀφανὲς ἰὼν ἐς πόρσω κατέφρασεν, alii antem recto iudicio usi σαφανὲς restituernnt. Verba satis corrupta leguntur in Append. Stob. 77: οὔτ' ἐξελ. μ. ἀ. ἐτήτυμος χ. τό τ' εἰς ἀφανὲς τῶν πρόσω κατεφρόνησεν. — V. 56. πολέμοιο, W1 Sch. πολέμου, W2M1 πολέμου δὲ. — ὀπᾷ, legebatur ὅπα. — V. 57. ἀκρόθινα, spondeus in principio versus _ _ cum in hoc carmine idem valeat quod _ ⌣ _ (vide quae supra p. 74 de hnius versus nnmero monui), substituit semel creticum: quod si cui insolens videatur, meminerit solutionem, quam statuunt, _ ⏖ vel ⏖ _ magis etiam offensioni esse. Hermann βωμοῖσιν ἀκρόθινα διελὼν ἔθυέ τε πενταετηρίδα τ' ἔστασεν ἑορτὰν. — V. 58. σὺν PcGP1Va1Ab, vulgo ἐν. Hartung scripsit ἐν Ὀλυμπιάδι πρώτᾳ. Νικαφορίαισι δὲ τίς δὴ κτλ. sed nequaquam erat σὺν mutandum, Ὀλυμπιὰς est ipsum certamen, ἀγών, νικηφορίας autem poeta paulo insolentius praemia victorum dixit. — V. 60. ποταίνιον, cod. Vindob. πρωταίνιον. — V. 61. ἔλαχε AMaGP1Va1CAb cod. Vict. Schol., ἔλαβε Pc, γε λάχε vulgo. — V. 62. ἅρματι schol. APc GP1Va1 cod. Vict., vulgo ἅρμασιν ut RAbMbM1, quod fort. aliquis praeferat. — V. 63. ἀγώνιον ἐν δόξαν θέμενος, εὖχος ἔργῳ καθελών distinxi, legebatur ἀγ. ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών. Poeta victorem dicit, qui virtutis famam periclitatus laude potitur, translatione ascita a sortibus, quas certaturi urnae imponebant. Hartung scripsit ἀγῶνα μὲν ἐν δόξᾳ θέμενος, εὖχος δ' ἔργῳ καθελών. Coterum ἐν δόξαν PcP1 (a m. s.), ἐνδόξαν AAbMaM2, ἓν δόξαν Va1, ἔνδοξα lemma scb., ἐν δόξᾳ vulgo. — V. 64. στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον scripsi, libri στάδιον μὲν ἀρίστευσεν εὐθύτονον (Gu εὐθύπονον), Schmid εὐθύδρομον, Hermann σταδίου . . . εὐθὺν πόνον, Thiorscb σταδίου . . . εὐθὺν τόνον. — V. 65. ποσσὶ, ποσὶ M2Va1W2. — V. 66. ἷκεν Boeckh, ἷκε AGPc cod. Vict., ἵκε Va1, vulgo ἥκεν. — Τεγέαν Boeckh, v. Τέγεαν. — V. 67. δ' ἔφερε, δὲ φέρε GAbP1PcCVa1M2, δὲ φέρεν AMa. Porro libri interpol. Δόρυκλος δὲ τέλος πυγμᾶς φέρε.

Ἀντ. δ΄.

ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·
ἄκοντι Φράστωρ ἔλασε σκοπόν·
μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις ὑπὲρ ἁπάντων, καὶ συμμαχία θόρυβον
παραίθυξε μέγαν· ἐν δ᾽ ἕσπερον
ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

Ἐπ. δ΄.

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις
τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καὶ νὺν ἐπωνυμίαν χάριν
νίκας ἀγερώχου, κελαδησόμεθα βροντάν
καὶ πυρπάλαμον βέλος
ὀρσικτύπου Διός,
ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀραρότα·
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων,

Στρ. ε΄.

τὰ παρ᾽ εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·

V. 70. *Σᾶμος ὡλιροθίου* Boeckh. Schol. legit *σᾶμ᾽ Ἁλιρροθίου* ut esset periphrasis pro simplici *Ἁλιρρόθιος*, itaque Didymus legit, quamquam aliter interpretatur; sed schol. etiam aliam lectionem commemorat *Σᾶμος ὁ Ἁλιρροθίου*, idque Aristodemus probavit vel coniectura assecutus est, alii denique *Σῆρος Ἁλιρροθίου*. Ex libris AGP1PcGu(in m.) M2 *σᾶμ᾽ Ἁλιρροθίου*, AbVa1 *σᾶμ᾽ Ἁλλιρροθίου*, sed interpolati PabMab LipAaLabGu Bodleiani W12M1 *Σᾶμος* (*Σῆμος*) *ἠείδετο*. Mommsen commendat suam coniecturam *σᾶμ᾽ Ἁλιρροχθίου* sive *Ἁλιρρωθίου*, quae interpretatur *signum Neptuni*, i. e. tridens sive heros Mantinensis. — V. 71. *ἄκοντι Φράστωρ* schol. ad v. 83 LaLipW2(Ab), *ἄκοντι δὲ Φράστωρ* APcMaGVa1Gu(a m. s.)M2 lemma sch., *ἄκοντι Φράστωρ δ᾽* RW1Mb, vulgo ut in multis interpolatis *κἄκοντι Φράστωρ*. — V. 72. *δὲ Νικεὺς* cod. Ambros., quod Meineke coniecerat, qui praeterea *δ᾽ Ἐνιπεὺς* proposuit, legebatur *δ᾽ Ἐνικεύς*. — *κυκλώσαις* Va2, reliqui *κυκλώσας*. — *ὑπὲρ ἁπάντων* APcP1Va1CAbG sch. vet., *ὑπὲρ ἅπαντας* interpolati. — V. 73. *παραίθυξε*, Pc *παρέθηξε*. — *ἐν δ᾽*, Hartung *ἂν δ᾽*, non recte, neque scholiastae veteres istam coniectnram tnentur. — V. 76. *ἀείδετο δὲ πᾶν*, Grashoff *ἄειδε δὲ τὸ πᾶν*. — V. 78. *καὶ νὺν* scripsi, *καί νυν* Hermann, v. *καὶ νῦν*. Idem nunc coni. *ἀρχαῖς ἑπόμενοι δὲ προτέραις ἔτι νὺν ἐπωνυμίαν χάριν ἀλκᾶς ἀγερώχου*. — *ἐπωνυμίαν*, coniicio *εὐωνυμίαν*, prima syllaba correpta, h. e. *εὐώνυμον χάριν νίκας*, boni ominis causa, cum laudem victoris praedicaturus est, orditur poeta a Iove. Hartung scripsit *καί νυν, ἐπωνυμίας χάριν ν. ἀγερώχου, κελ.* — V. 81. *Διός* AW2GMaCP1AbVa1LipGuLab, v. *Διός γ᾽*. — V. 84. *ἀντιάξει*, lemma Sch. *ἀντιάζει* — V. 85. *φάνεν*, Ab *φανά*, M2 *φάνη*.

ἀλλ' ὥτε παῖς ἐξ ἀλόχου πατρί
ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη, μάλα δέ οἱ θερ-
μαίνει φιλότατι νόον·
ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
ἐπακτὸν ἀλλότριον,
θνάσκοντι στυγερώτατος·

'Αντ. ε'.

καὶ ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ,
'Αγησίδαμ', εἰς 'Αΐδα σταθμόν
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερ-
πνόν. τὶν δ' ἁδυεπής τε λύρα
γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν·
τρέφοντι δ' εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

'Επ. ε'.

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος
Λοκρῶν ἀμφέπεσον μέλιτι
εὐάνορα πόλιν καταβρέχων· παῖδ' ἐρατὸν δ' 'Αρχεστρά-
του
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ' 'Ολύμπιον

V. 86. *ὥτε* Mb, vulgo *ὥστε.* — V. 87. *ἵκοντι* AGMaAbP1Va1, v. *ἥκοντι.* — *νεότατος* Hermann, et sic Sch. vet. legit, vulgo *νεότατι.* — *τὸ πάλιν*, AGP1AbVa1MaPcM2 *τοὔμπαλιν.* — *οἱ* Boeckh, vulgo *τοι.* — *νόον*, Pc *νέον.* — V. 88. *ἐπεὶ*, *ἐπεὶ ὁ* AGP1AbVa1MaPc. — V. 90. *θνάσκοντι*, Hermann *θανόντι.* — V. 91. *καλὰ*, PcM2 *καλὰ μὲν.* — *ἔρξαις*, *ἔρξαις* Va2, ceteri *ἔρξας*, W1 *ἔρξαι.* — V. 93. *πνεύσαις* Va2, ceteri *πνεύσας.* — *τε λύρα*, Pc *λύρα.* — V. 94. *ἀναπάσσει*, *ἀναπλάσσει* AVa1P1 PcG (in m. *ἀναπτάσσει*) AbGu(a m. s.)M2. Mommsen contendit duas tantnm lectiones vetustas esse, *ἀναπάσσει* et *ἀναπτάσσει*, ex alterius corruptione ortnm esse *ἀναπλάσσει*: at tam veteres scholiastae, quam recentiores nnam tantum lectionem *ἀναπάσσει* interpretantnr: neque omnino video, quid sit *ἀναπτάσσει*: conveniret huius loci sententiae, at non nnmero *ἀναπατάσσει*, vid. Hesych. *ἀναπατάξασθαι*, *ἀνακρούσασθαι ᾆσμα.* Ceternm *ἀναπάσσει* verbum solitarium num a Pindaro profectum sit ambigi potest: conieci aliquando *ἀναθύσσει*, i. e. *ἀναιθύσσει*, vid. Hesych. *θύσσεται* et *θυσσόμεναι.* Quae de lectionis varietate ex suis copiis protulit Mommsen, vide apud ipsum. — V. 95. *τρέφοντι* AMaCGVa1P1AbPcGu(in m.)Va2 aliique codd. Mommseni et sch. vet., vulgo ex interp. *ἔχοντι.* — V. 98. *ἀμφέπεσον* non credo a Pindaro profectum esse, sed *ἀμφίεπον.* Expectaverit aliqnis aoristum, sed *ἀμφέσπον* insolentia numeri offendit, *ἀμφέσεπον*, qnae sane antiquissima fuit forma, magis etiam insolens, quamquam Boeoti antiqnitatis verborum tenaces fuerunt. Hartung scripsit *ἀμφιπεσὼν . . . καταβρέχω.* — *μέλιτι* APcMaCP1GAbVa1LipLabW2, vulgo *μέλιτι δ'.* — V. 99. *παῖδ'*, Hermann *πάϊδ'* — *ἐρατὸν δ'* LipGuLab, Dissen *ἐρατόν τ'*, vulgo *ἐρατὸν.*

κεῖνον κατὰ χρόνον
ἰδέᾳ τε καλόν
ὥρᾳ τε κεκραμένον, ἆ ποτε
ἀναιδέα Γανυμήδει πότμον ἆλαλκε σὺν Κυπρογενεῖ.

V. 102. *χρόνον* APcGCVa1AbMaP1LipGuLabCy, vulgo *χρόνον γ'*. — V. 104. *ἆ ποτε ἀναιδέα Γανυμήδει πότμον* Boeckh, codices longe aliter *ἆ ποτ'* (sic Sch. vet. AVa1AbP1PcMa et Gu a m. s. M2. *ἆ τ'* RMb LipGu a m. pr. M1CyW12Aa sch. rec.) *ἀναιδέα Γανυμήδει* (*Γαννυμήδει* PcP1Va1CyM2) *θάνατον* (sed *πότμον* Va1 et Ma supra). Mihi olim videbatur *θάνατον* antiqua esse parepigraphe ad explicandum vocabulum *πότμον*, quae cum esset in ordinem recepta, et alterutrum tantum ferri posset, *πότμον* in *ποτ'* mutatum esse existimabam, itaque versibus his aliter descriptis in epecdosi correxi *ἆ πότμον ἀναιδέα* | *Γανυμμήδεϊ ἆλαλκε σὺν Κυπρογενεῖ*. Nunc Boeckhii emendationem revocavi, quamquam nescio an Pindarus scripserit *ἆ πότμον ἀναιδέα Γανυμήδει ποτ' ἀπάλαλκε σὺν Κυπρογενεῖ*. Schmid *ἆ ποτ' ἀναιδέα Γανυμήδει τὸν πότμον*. Hermann *ἆ τε Γανυμήδει ἀναίδητον* | *πότμον*.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΑ. (Ι.)

ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

ΠΑΙΔΙ ΠΥΚΤΗι.

Strophae.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Epodus.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏑́⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – ⏒ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏒

„Carmen hoc Olympiae sub ipsam Agesidami victoriam festinatum est, quo promitteretur maius et praeclarius in patriam reverso offerendum. Hinc v. 4: *εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι ὑστέρων ἀρχαὶ λόγων τέλλεται, καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.* Illud vero canticum, quod nunc promittit, apud Locros cantatum iri, ipse significat poeta vs. 11 seqq. *ἴσθι νῦν … τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν, Κόσμον … ἀδυμελῆ κελαδήσω Τῶν Ἐπιζεφυρίων Λοκρῶν*

Στρ.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
χρῆσις· ἔστιν δ' οὐρανίων ὑδάτων
ὀμβρίων, παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσῃ, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχὰ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Ἀντ.

ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
γλῶσσα ποιμαίνειν ἐθέλει·
ἐκ θεοῦ δ' ἀεὶ σοφαῖς ἀνθεῖ τίς ὁμῶς πραπίδεσσιν;

γενεὰν ἀλέγων· ἔνθα συγκωμάξατ', ἐγγυάσομαι κτλ. neque est alind, quam Ol. XI ubi Agesidamum einsque patriam celebrat. Haud dubie igitur breve hoc carmen prius scriptum, quam insequens, ut iudicant etiam Miugarellus et Gurlittus, ideoque priori obsecutus ordine mntato brevius longiori praemisi. Quod vero hoc loco descivi a grammaticorum dispositione, atqne idem Isthm. IV ante Isthm. V reliquerim, licet illud post hoc editum constet (vid. Scholiast. ad initium prioris), nou inconstantia factum est, sed ea de causa, quod in Isthmiis illis carminibus nihil refert, utrum ntri pracmittatnr, hic vero necesse est ut brevius legas ante longius, si utriusque sensum recte velis perspicere." *Boeckh.* Ego ad librorum ordinem redii. Ceterum in codd. male inscriptum est hoc prooeminm: τῷ αὐτῷ (Ἀγησιδάμῳ) τόκος, nisi quod P1 ἀρχὴ τόκου, W2 plaue omisit.

V. 4. πόνῳ, Hermanu μόχθῳ. — πράσσῃ Hartung, vulgo πράσσοι, Ab πράττει, Cy πράσσοιτο, cod. Paris. ap. Momms. πράσσων. — V. 5. ἀρχὰ scripsi, atque ita praeter cod. Ambros. schol. 1 et 3 legit, vulgo ἀρχαὶ, et sic schol. 2. Hartung haec sic immutavit μελίγαρυν ἐς ὕμνον, ὑστέρων ἀρχὰν λόγων, τέλλεται κτλ. — V. 7. ἀφθόνητος libri, ἀφθόνατος Heyne. — V. 8. οὗτος mirum in modum languet, facilius ferrem ἀφθόνητος δ' οὗτος Ὀλυμπιονίκαις Αἶνος ἄγκειται, sed puto poetam scripsisse θεσμὸς ἄγκειται, i. e. θησαυρὸς, vid. Anacr. fr. 59: ἀπὸ δ' ἐξείλετο θεσμόν, et Babrius nov. coll. 23, 11 τεθμὸς ἀνθρώπων. Et fortasse hoc ipsum reperit scholiasta, qui dicit ὕμνος ἀφθόνητός ἐστιν ἔπαινος καὶ ἀνάκειται τοῖς Ὀλυμπιονίκαις, perperam ille quidem θεσμὸν interpretatus ὕμνον. — ἄγκειται schol. RLipMbCyGu(a m. s.)W12, ἔγκειται PcACGMaAbVa1P1Gu(a m. pr.)M2. — V. 9. ποιμαίνειν, Hecker πορσαίνειν. — V. 10. ἐκ θεοῦ δ' ἀεὶ σοφαῖς ἀνθεῖ τίς ὁμῶς πραπίδεσσιν; scripsi, legebatur ἐκ θεοῦ δ' ἀνὴρ σ. ἀνθεῖ ἐσαεὶ πραπίδεσσιν, sed ἀνθεῖ πραπίδεσσιν omisso ἐσαεὶ AGAbP1PcVa1LaGu(a m. pr.)M12, ἐσαεὶ ἀνθεῖ πραπίδεσσιν Cy: ego nt hiatum ingratum removerem olim scripsi ἀνθεῖ πραπίδεσσιν ἐσαιεί, Hartung ἄνθησεν ὁμῶς πραπίδεσσιν, ubi scholiasta duce recte ὁμῶς restituit, idque plane firmant duo codices a Mommseno collati, Leidensis ἀνθεῖ πραπίδεσσιν ὅμως ὢν ἴσθι νῦν et Parisinus ἀνθεῖ πραπίσιν. ὅμως ὢν ἴσθι νῦν, et ὅμως ὢν etiam Ambros., unde Mommsen ἀνθεῖ πραπίδεσσιν. ὁμῶς ὢν ἴσθι νῦν scripsit, quod nullo pacto convenit, neque scholiastae interpretatione firmatur, qni ἀεὶ reperit, sed ἀνὴρ ignorat, videtur antem legisse ἐκ θεοῦ δ' ἀεὶ σοφῶς ἀνθεῖ πραπίδεσσιν ὁμοίως vel ἀνθεῖ τις ὁμῶς πραπίδεσσιν. Sed ne haec quidem satis apta sententia, quam recuperabimus interrogatione restituta; hoc enim poeta dicit: ne

ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἀγησίδαμε, πυγμαχίας ἕνεκεν

Ἐπ.

κόμπον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
ἀδυμελῆ κελαδήσω,
τῶν Ἐπιζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ', ἐγγυάσομαι
ὔμμιν, ὦ Μοῖσαι, φυγόξενον στρατόν
μήτ' ἀπείρατον καλῶν,
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γάρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος.

poetae quidem, in quo divinitus insita est sapientia, semper adest ingenii copia; veniam enim petit, quod nunc brevissimo carmine defungitur, mox ampliter victoris laudes celebraturus. Leutsch coniecit ἐκ θ. δ' ἀ. σ. ἀνθεῖ πραπίδεσσιν ὁμοίως, Heimsoeth ἐκ θεοῦ δ' ἀεὶ σοφὸς λάμπει πραπίδεσσιν ὁμοίως. — V. 13. κόμπον scripsi, legebatur κόσμον, quod iam veteribus interpretibus negotia facessivit, qui δεξάμενον supplent. — ἐπὶ, cod. Ambr. ἀμφὶ, quae haud insolens est permutatio, non debebat igitur hoc, quod numerum corrumpit, Mommsen probare. — V. 17. ὔμμιν scripsi, legebatur μή μιν, ac fortasse scholiastae id ipsum, quod restitui, legerunt. Hartung μὴ μὲν i. e. μὴ μὴν scripsit. — φυγόξενον, Va1 φυγόξεινον. — V. 18. μήτ' scripsi, legebatur μηδ'. — V. 19. ἀκρόσοφον δὲ, Va1M2 ἀκρόσοφόν τε. — V. 21. διαλλάξαιντο, Hartung διαλλάξαιντ' ἄν.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΒ.

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩι

ΔΟΛΙΧΟΔΡΟΜΩι.*)

Strophae.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Epodus.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – –

„Huius odae versuum descriptio ob brevitatem carminis in nonnullis dubitationem admittit, cuius causa in ipsa re sita est. Igitur non opus mihi videtur, ut de singulis dicam, excepto ultimo epodi versu. Qui quum vulgo distraheretur in binos,

–́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – –

ob vocabuli divisionem certe unus debebat esse pentameter trochaicus acatalecticus:

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – –

*) In editione secunda nescio quo errore *ΑΠΗΝΗι* legitur.

Στρ.

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,
Ἱμέραν εὐρυσθενέ᾽ ἀμφιπόλει, Σώτειρα Τύχα·
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαί
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ᾽ ἄνω, τὰ δ᾽ αὖ κάτω ψεύδη μεταμώνια τάμνοισαι
κυλίνδοντ᾽ ἐλπίδες·

Ἀντ.

σύμβολον δ᾽ οὔ πώ τις ἐπιχθονίων
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν·
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ᾽ ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ᾽ ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδ-
άμειψαν χρόνῳ.

Ἐπ.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν
ἐνδομάχας ἅτ᾽ ἀλέκτωρ συγγόνῳ παρ᾽ ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησεν ποδῶν,

cuius exemplum extat nullum. Catalecticus in fine epodi positus Nem. VIII et Isthm. II non tuetur acatalecticum. Quam vero ingratus est pentameter acatalecticus, tantam gratiam habet trimeter catalecticus cum dimetro acatalectico:

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – | –́ ⏑ – – –́ ⏑ – –

qui existet contractis ex more ultimis duabus syllabis participii *ὁμιλέων*.“ *Boeckh.* Idem ep. v. 2 et 4 antea in binos versus diviserat; a Boeckhio praeterea discessi ep. v. 3.

V. 1. *λίσσομαι*, Pc *ψὲ λίσσομαι*, unde olim conieci *λίσσομαί σε Ζηνὸς Ἐλ.* i. e. per Iovem. — V. 2. *Ἱμέραν εὐρυσθενέ᾽ ἀμφιπόλει* Hermann ex schol. restituit, vulgo *Ἱμέρα εὐρυσθενέ᾽ ἀμφὶ πόλει*, nisiquod *Ἱμέραν* corr. Va2 et W2, *Ἱμέρ᾽* RCyAbP1, *ἀμφίπολεῖ* Va2, *ἀμφιπόλει* Va1. Etiam Schol. Vindob. duplicem lectionem *ἀμφιπόλει* et *ἀμφὶ πόλει* agnoscit: ac paraphrastes quoque vulgatam istam scripturam sequitur. Ceterum poterat etiam scribi *Ἱμεραν σ᾽ εὐρυσθενέ᾽ ἀμφιπολεῖν*, sed tum ambiguum est, quorsum *εὐρυσθενέ᾽* sit referendum: mihi quidem poeta videtur *εὐρυσθενὲς* scripsisse. — V. 4. *τε λαιψηροὶ*, lemma sch. *λαιψηροί τε*, *δὲ* Gramm. Harlej. post Hephaest. 330. — V. 6. *τὰ δ᾽*, Schmid *ταὶ δ᾽*. — *ψεύδη*, *ψευδῆ* W12M12. Schol. legit *ψεύδη*, quamvis *ψευδῆ* scriptum sit. — *τάμνοισαι* AGAbP1Va1 Scholiast., v. *τέμνοισαι*. V. 12. *πεδάμειψαν*, P1 *μετήμειψαν*, Pc *προσάμειψαν*. — V. 13. *καὶ* om. Va1. — V. 14. *συγγόνῳ*, AbGu *συγγόνων*, Hartung *συγγενεῖ*. — V. 15. *κατεφυλλορόησεν* Hermann, v. *κατεφυλλορόησε*. In proecdosi *κατεφυλλοχόησε* conieci coll. Phrynicho Bekk. An. I 71, 11.

εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ' ἄμερσε πάτρας.
νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ', Ἐργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέων παρ' οἰκείαις
ἀρούραις.

V. 16. *εἰ μὴ*, Lip. *εἴ κε μή.* — *σ' ἄμερσε* Ambr., ut coniecerat Jacobs, et sic videtur Sch. legisse, v. *ἄμερσε.* — V. 18. *ἐκ Πυθῶνος* APcGAbVa1, v. *ἐν Πυθῶνι*, quemadmodum etiam Gr. Harl. p. Heph. 329 (qui deinde mire *παρ' οἰκείαις τροφαῖς*). Pindarus consulto scripsit *ἐκ Πυθῶνος*, ut dilucide binas Pythias victorias significaret.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΓ.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙῼ

ΣΤΑΔΙΟΔΡΟΜῼ ΚΑΙ ΠΕΝΤΑΘΛῼ.

Strophae.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏒
⏒ –́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – ⏒
⏑ –́ ⏑ ⏑͡⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏕́ ⏑ – ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – ⏒
⏒ –́ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

Epodi.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –́ ⏑ – ⏒
⏕́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ –́ ⏑ – – ⏕́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏒

„Inscriptionem carminis simplicem *σταδιοδρόμῳ καὶ πεντάθλῳ* ex A et G ductam agnoscit etiam Mb omittens additamentum *νικήσαντι τὴν οθ´ Ὀλυμπιάδα* praeter morem adiectum in aliis libris (ut M2Pc W2)“. *Boeckh.* Idem in priore ed. ep. v. 5 et 6 in unum coniunxit hoc modo:

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – ⏕́ ⏑ ⏓

Στρ. α'.

Τρισολυμπιονίκαν
ἐπαινέων οἶκον ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον Ποτιδᾶνος, ἀγλαόκουρον.
ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασιγνήτα τε, βάθρον πολίων
ἀσφαλές,
Δίκα καὶ ὁμότροπος Εἰράνα, ταμίαι ἀνδράσι πλού-
του,
χρύσεαι παῖδες εὐβούλου Θέμιτος·

Ἀντ. α'.

ἐθέλοντι δ' ἀλεξεῖν
Ὕβριν, Κόρου ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νικαφόρον ἀγλαΐαν
ὤπασαν
ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,
πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον

rectius in altera ed. separavit. Ceterum Boeckhium fere secutus sum in numeris conformandis huius carminis, quod satis pro arbitrio grammatici interpolaverunt. Quibus interpolationibus fidem habens Hermann multa aliter constituit, praeterea ep. v. 7 in binos versiculos divisit.

V. 3. *ξένοισι*, *ξείνοισι* Va1AbGP1PcM2. — V. 5. *Ποτιδᾶνος* P1G, quam scripturam Potidaeae, Corinthiorum coloniae, nomen commendat, ARMbLbW1 *Ποτειδᾶνος*, MaVa1Ab *Ποσειδᾶνος*, W2CyGuM1 Bodleiani *Ποσειδῶνος*. — V. 6. *ἐν τᾷ γὰρ* APabcMaVa1LabGu (a m. pr.), *ἐν τᾷδε γὰρ* lemma sch. M2 corr. GAb, *ἐν τᾷδε δ'* P1RMbAaW1. — *κασιγνήτα* M2 corr. GAbPc (a m. pr.) et fort. sch. vet., *κασιγνήτη* Va1Pc (a m. s.), *κασιγνάτα* P1, vulgo *κασίγνηται* et sic sch. rec. — Deinde Schmid et Hermann traiiciunt verba *Δίκα*, *πολίων ἀσφ. βάθρον*. — *ἀσφαλές* Schmid, libri et sch. rec. *ἀσφαλής*. — V. 7. *ὁμότροπος*, sch. *ὁμότροφος*. — *Εἰράνα*, PcW12 *εἰρήνα*. — V. 9. *ἀλεξεῖν*, Boeckh *ἀλέξειν*. — V. 10. *Ὕβριν, Κόρου ματέρα θρασύμυθον*, Hartung scripsit *θυγατέρα*, eodem tendit interpunctio, quam Mommsen in G et aliis compluribus libris reperit *Ὕβριν κόρου, ματέρα θρασύμυθον*, hinc Germanus interpretatur *ἐκφεύγειν τὴν ὕβριν τὴν θυγατέρα τοῦ κόρου, τὴν μητέρα τὴν θρασύμυθον*. Ceterum M2 *θρασύθυμον* exhibet, quae lectio si aliorum librorum fide firmaretur, haud spernenda foret. — V. 14. *ὔμμιν*, W1M12 *ὔμμιν*, Pc *ὔμι*. — *ὤπασαν* AGVa1P1MaBdαCLipLabGnCyW2, *ὤπασάν τ'* R, *ὤπασάν γ'* vulgo. — V. 15. *ὑπερελθόντων*, W2PabBαβγLaCyGn (a m. pr.) M1 *ὑπερελθοῦσιν*. — *ἐν ἀέθλοις* Sch. Va1, *ἐν ἀέθλοισι* AGP1Ab BγPcM12, vulgo *εἰν ἀέθλοισιν*.

Ἐπ. α'.

Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον.
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ Χάριτες Διθυράμβῳ;
τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,
ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον
ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἀδύπνοος,
ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.

Στρ. β'.

ὕπατ' εὐρυανάσσων
Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας,
πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.

Ἀντ. β'.

δύο δ' αὐτὸν ἔρεψαν
πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ·
πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,

Fr. 207. Schol. Pind. Pyth. IV 408: *ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν· ὁ δὲ χρυσὸς ἄφθαρτος· καὶ ἡ Σαπφώ, ὅτι Διὸς παῖς κτλ.* sed Schneider et Boeckh viderunt excidisse Sapphus fragmentum Pindarique haec esse collato Proclo ad Hesiod. Opp. et D. 428: *τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα· κεῖνον οὐ σῆς οὐ κὶς δάμναται, ὡς ἄσηπτον,* Deinde Sch. *κὶς δάπτει, βροτέαν.* inde Valckenaer vidit recipiendum esse utrumque verbum *δάπτει, δάμναται δέ.* — V. 3. *κάρτιστον* Boeckh, vulgo *κράτιστον.* — *κτεάνων* Boeckh, vulgo *φρενῶν.*

208. [244.]

–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏓ ⏑ –́ ⏑ ⏑ – . . . . .

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρυσέων βελέων
ἐντὶ τραυματίαι . . . .

209. [246.]

⏑ –́ –́ ⏑ ⏑ – ⏑͡⏑ ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ –́ . . . . . .

Ἴσον μὲν θεὸν ἄνδρα τε φίλον (θεῷ)
ὑποτρέσσαι . . . . .

210. [247.]

. . . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏒ . .

. . . *Ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,*
πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν. . .

211. [248.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ . . . .

Οὔτις ἑκὼν κακὸν εὕρετο.

Fr. 208. Theodor. Metoch. 562: *Καὶ φέρονται κτλ. Πίνδαρός φησιν.* — V. 1. *τύχαν* Boeckh, v. *τύχην.* — V. 3. *ἐντὶ*, cod. Mon. *ἐν τῷ.*

Fr. 209. Schol. Hom. Il. ϱ 98: *ὁ γὰρ φωτὶ μαχόμενος τῷ ὑπὸ θεῶν τιμωμένῳ ἢ ὑπὸ θεῶν ἀγαπωμένῳ, αὐτῷ τῷ θεῷ μάχεται τῷ ἐκεῖνον στέργοντι· ὁ Πίνδαρος ἴσον . . . φίλον ὑποτρέσσαι* (Bekker *ὑποτρέσαι*) *ἐκέλευσεν, ἐπίσης τὸν θεὸν καὶ τὸν φίλον θεῷ ἄνδρα θεοφιλῆ.* — V. 1. *θεῷ* recte addidit Heynius.

Fr. 210. Schol. Pind. Ol. II 40: *πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις γὰρ τὰ κακά, ὅπερ καὶ ἐν ἑτέρῳ φησίν· ὁπότε κτλ.* — V. 1. *ὁπόταν* schol. Vindob., vulgo *ὁπότε.* — V. 2. *πάρος* Nauck, *πρόσθε* Boeckh, vulgo *πρὸς*, quod tuetur Mommsen. — *κραδίαν* schol. Vind., v. *καρδίαν.* Deinde poeta videtur scripsisse *ἐστυφέλιξε πένθει.*

Fr. 211. Aristid. II 547: *Ἀλλὰ Πλάτων καὶ Πίνδαρος πολλαχῇ μὲν καὶ ἄλλῃ σοφοί, καὶ δὴ καὶ κατὰ τόνδε τὸν λόγον οὐχ ἥκιστα, ὁ μὲν οὑτωσὶ λέγων· οὔτις κτλ.*

212. [250.]

[–́ ⏑] ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – [–́] . . . . .

. . *Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι*
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . .

213. [252.]

. . . ⏕́ ⏑ – ⏑ – –
⏕́ ⏑ ⏕ –́ ⏑ – ⏕́ ⏑ – ⏑ –

. . . . *Τιθεμένων ἀγώνων*
πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.

214. [253.]

– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –

Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται
οὐ φίλων ἐναντίον ἐλθεῖν.

215. [254.]

. . . ⏑ ⏑ – – –́ ⏑ – – –́ . . .

'Επὶ λεπτῷ δενδρέῳ βαίνειν.

Fr. 212. Clem. Alex. Str. IV 586: *Καὶ ὁ Πίνδαρος· Νέων δὲ κτλ.* — V. 1. *εἱλισσόμεναι* et V. 2 *εὑρίσκοντι* Boeckh, v. *ἑλισσόμεναι* et *εὑρίσκουσι.* — V. 3. *ἀερθέντα* Boeckh, v. *λαμπευθέντα*, Schneider *λαμπρευθέντα* (debebat *λαμπρυνθέντα*), Buttmann *ἀναμπρευθέντα.*

Fr. 213. Plut. an seni sit ger. respubl. c. 1: *Ὅτι μέν, ὦ Εὔφανες, ἐπαινέτης ὢν Πινδάρου, πολλάκις ἔχεις διὰ στόματος ὡς εἰρημένον ευ καὶ πιθανῶς ὑπ' αὐτοῦ· τιθεμένων κτλ.* Eadem leguntur de sollert. animal. c. 23.

Fr. 214. Schol. Pind. Olymp. XIII 92: *καὶ ἀλλαχοῦ· Νικώμενοι κτλ.* — V. 1. affert idem ad Pyth. IX 160: *Νικ. δὲ ἀγρ. δέδενται*, integrum autem versum Plut. de cap. ex inim. util. c. 4.

Fr. 215. Liban. Epist. CXLIV: *Μηδ' οὕτως οἷον τὰ ἡμέτερα κατὰ Πίνδαρον ἐπὶ λ. δένδρῳ β., ἀλκά τι καὶ ἀδάμαντος μετέχειν. δενδρέῳ* Boeckh.

216. [255.]

– ∸ ⏑ ∸ ⏑ ⏑ – ∸ ⏑ ⏑ – ∸ ⏑ ⏓
⏑ ⏑ ∸ ⏑ . . . .

Τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος
ἐσάωσεν.

217. [256.]

– ∸ ⏑ ⏑ – ⏑ ⏑ – – ∸ ⏑ – –
∸ ⏑ . . . .

Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον
τεῖχος.

218. [257.]

⏑ ∸ ⏑ – – ∸ ⏑ . .

Πιστὸν δ' ἀπίστοις οὐδέν.

219. [258.]

. . . . , . . . ⏑ – ⏑ ⏑ – ⏒
∸ ⏑ – – ∸ ⏑ ⏑ – ∸ ⏑ – ⏒ ∸ ⏑ – ⏒
⏒ ∸ ⏑ – – ∸ ⏑ ⏑ – ⏑ ⏑ – – ∸ ⏑ – – ∸ . .

Ὑφ' ἅρμασιν ἵππος,
ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς
κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευ-
ρεῖν . .

Fr. 216. Schol. Pind. Nem. VII 87: *Ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· Τόλμα κτλ.* Fort. Pindarus *τόλμα* ultima correpta adhibuit.

Fr. 217. Plut. vit. Marcell. c. 29: *ἀλλὰ γὰρ τὸ πεπρ. οὐ πῦρ, οὐ σιδαροῦν* (BM *σιδηροῦν*) *σχήσει τεῖχος, κατὰ Πίνδαρον.* Correxit Boeckh, Hartung *οὐδὲ σιδάρεον.*

Fr. 218. Clem. Alex. Paedag. III 307: *Π. δὲ ἀ. οὐδὲν κατὰ Πίνδαρον.*

Fr. 219. Plutarch. de virt. mor. c. 12: *ὑφ' ἅρμασι γὰρ ἵππος, ὥς φησι Πίνδαρος, ἐν δ' ἀρότρῳ βοῦς, Κάπρῳ δὲ κτλ.* Auctius affert sine poetae nom. de tranquill. anim. c. 14. — V. 1. *ὑφ'*, altero loco *ἐν.* — V. 3. *βουλεύοντα* priore loco B Ven. 3 et altero loco C, *βουλεύοντι* reliqui.

220. [259.]

⏑ ⏑ ∸ ⏑ ⏑ – ⏑ – – ∸ ⏑ ⏑ – ⏑ ⏓
∸ ⏑ ⏑ – ⏑ ⏑ – – ∸ ⏑ ⏑ –
– ∸ ⏑ – ∸ ⏑ ⏑ – ⏑ ⏒

Ἁλίου δ' ἐρεθίζομαι δελφῖνος ὑπόκρισιν·
τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.

221. [260.]

⏑ ∸ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.

222. [261.]

⏑ ∸ ⏑ ⏑ – ∸ ⏑ – –
⏑ ∸ ⏑ – – ∸ ⏑ –

Ὄπισθε δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων.

223. [262.]

∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ –
⏑ ∸ ∸ ⏑ . . . .

Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων
λεύντων τε. . . . . .

224. [265.]

. . . ⏑ ⏑̇ – ⏑ – – ∸ ⏑ ⏑ – ⏑ – –

Ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.

Fr. 220. Plut. Sympos. Quaest. VII 5, 2: *Ὁ δὲ Πίνδαρός φησι κεκινῆσθαι πρὸς ᾠδὴν ἀλίου δελφ. κτλ.* Idem de Sollert. Anim. c. 36: *ᾧ (δελφῖνι) καὶ Πίνδαρος ἀπεικάζων ἑαυτὸν ἐρεθίζεσθαί φησιν, οὐ δελφῖνος ἀπόκρισιν, τὸν μ. ἀ. ἐκ πόντου π. αὐ. ἐκίνησεν ἐ. μ.* — unde *δ' ἐρεθίζομαι* revocavi. Hi versus fortasse ex libris *Ὑπορχημάτων* petiti.

Fr. 221. Schol. ad Hom. Od. κ 240: *φιλάνορα . . . (δελφῖνες) κατὰ τὸν Πίνδαρον.* Cf. Eust. 1657, 13.

Fr. 222. Aristid. II. 509: *Πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα καὶ οὐκ εἰδότα, ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκε· ὄπισθεν δὲ κ. θαρσειᾶν κτλ. ὄπισθε* Boeckh, *θρασειᾶν ΓΘ.*

Fr. 223. Schol. Pind. Pyth. II 31: *καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεύεσθαι καὶ κτιλεύεσθαι λέγει· ἔνθα ποιμένες κτλ.* sed cod. Gott. *ἔνθα αἱ ποίμναι,* hinc Boeckh correxit.

Fr. 224. Herodian. *περὶ σχημ.* 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφοράν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων* vid. fr. 56) *καὶ ἰαχεῖ βαρύφθεγκτ'*

225. [269.]

. . ‒ ‒ ⏑́ ⏑ ‒ ‒

Μὴ σιγᾷ βρεχέσθω

226. [280.]

⏑ ⏑ ⏑́ ⏑ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒

Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.

227.

‒ ‒́ ⏑ ⏑ ‒ ⏑ ⏑ ‒

Ἁ μὲν πόλις Αἰακιδᾶν.

228.

. . . . . . ‒ ‒́ ⏑ ‒

‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ . .

. . . . . . *Φὰν δ' ἔμμεναι*

Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

229.

Πρόφασις βληχροῦ γίνεται νείκεος.

ἂν ἀγέλαι (sic A, *ἂν ἀγέλαν* B, vulgo *ἀναγγεῖλαι*) *λεόντων*. correxit Fiorillo.

Fr. 225. Schol. Pind. Ol. XI 58: *τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι· συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι· καὶ ἀλλαχοῦ κεῖται· Μησὶ γὰρ βρ.* corr. Boeckh.

Fr. 226. Athen. VI 248 C: *ἀλλὰ μὴν καὶ αὐτός, ἔφη, τὸ ποτίκολλον κτλ. ὡς ὁ Θηβαῖος εἴρηκε ποιητής, περὶ κολάκων ἐρῶ τι. ποτίκολλον* ABPV, *ποτικολλῶν* L et Basil. Idem I 24 B: *ποτίκολλον* (L *ποτικολλῶν*) . . . *ξύλῳ φησὶν ὁ Θηβαῖος μελοποιός.*

Fr. 227. Schol. Arist. Pac. 251: *ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν . . . καὶ Πίνδαρος δὲ περὶ τῆς Αἰγίνης· ἁ μ. πόλις* (Ven. *πολλάκις*) *Αἰακ.*

Fr. 228. Herodian. *περὶ σχημ.* 59, 29: *καὶ τὸ παρὰ Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον· φὰν δ' κτλ.* Pro *φὰν* A *φαμέν*. — *υἱοὶ* CD, *υἱὸς* B, *υἱὸν* A. — *καί*, *ἢ* CD. — *Ποσειδάωνος*, *Ποσειδάονος* A. Eadem Moschopul. 83 et Tryphon in Mus. Cantabrig. I 56. Ad hoc carmen fort. pertinet fr. 242.

Fr. 229. Cram. An. Ox. I 95, 5: *Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρόν· πρόφασις* (cod. *πρόφασιν*) *βληχροῦ γ. ν.* Respicit Et. M. 200, 13: *βληχρὸν . . . Πίνδαρος δὲ ἐπὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.* Zonar. 193, 391. Suid. v. *βληχρόν*, Eust. Il. 589, 46.

* 230. [286.]

Μελιρρόθων δ' ἕπεται πλόκαμοι.

231. [123.]

Etym. M. 277, 39: *Διόνυσος· . . . οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη.*

232. [124.]

Plutarch. de adul. et amic. c. 27: *εὐδίᾳ γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρὺν ἀνασπῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιταττόμενον τῷ Λυσίῳ θεῷ, λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον.* ubi Dübner ed. [*καὶ*] *μεριμνῶν.* Nauck coniecit *δυσφρόνων σκύνιον μεριμνᾶν.*

233. [153. 130. 131.]

Schol. Il. φ 194: *Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα, καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμόν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. . ., ἡ ἱστορία παρὰ Πινδάρῳ.* Ad eundem locum haud dubie pertinet Schol. Il. ϑ 368: *Πίνδαρος γοῦν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν (Κέρβερον) κεφαλάς φησιν.* — Conferas praeterea Tertullian. de cor. mil. c. 7: „Hercules nunc populum capite praefert, nunc oleastrum, nunc apium. Habes tragoediam Cerberi, habes Pindarum atque Callimachum, qui et Apollinem memorat interfecto Delphico dracone lauream induisse qua supplicem."

Fr. 230. Lesbonax de fig. 184 ed. Valck: *ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται· γίνεται δὲ οὕτως· Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις, μελιρρόθων δ' ἕπεται πλόκαμοι ἀντὶ τοῦ ἕπονται* (cod. *ἕπεται*), *διήγεται σάρκες ἀντὶ τοῦ διήγονται. Ὅμηρος· καὶ δὴ δοῦρα σέσηπε νεῶν κτλ.* Et medium quidem exemplum certissime Pindari est, ubi Boeckh *μελιρρόθων δ' ἀνθέων ἕπ. πλ.* scripsit, Hartung *μελιρρόων*, videtur *παλιρρόθιον δ' ἕπεται πλόκαμοι* legendum: fortasse etiam tertium huc pertinet, quod affert etiam schol. Philostrati p. 193 ed. Kayser: *Πινδαρικὸν (σχῆμα) . . . οἷον· Λακεδ. πολ. Ἀθ. καὶ Ὅμηρος. διοίγετο δὲ σάρκες ἀντὶ τοῦ διοίγοντο.* Fort. *διοίχετο σάρκες.*

234. [135.]

Pausan. V 14, 6: *Μετὰ δὲ τοὺς κατειλεγμένους Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν (Ἠλεῖοι) ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτων παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετρειναίοις.*

235. [139.]

Serv. Virg. Georg. I 14: „Huic opinioni (*Aristaeum Thebis relictis se primum Ceam, tum in Sardiniam contulisse*) Pindarus refragatur, qui eum ait de Cea insula in Arcadiam migrasse, ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit, qualiter apes debeant reparari." Nisi forte haec ex commentariis ad Pyth. IX 64 petita sunt.

236. [145.]

Plut. Quaest. Nat. c. 36, ubi quaerit cur apes citius pungant, qui stuprum dudum fecerint, ex versione Longolii: „*Et Pindarus: Parvula favorum fabricatrix, quae Rhoecum pupugisti aculeo, domans illius perfidiam.*" sic Dübner (sed Boeckh: Tu molitrix favorum parva, perfidum quae puniens Rhoecum stimulo pupugisti eum). Huc pertinet Schol. Apoll. Rh. II 477 (Et. M. 75, 32) *Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην· ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅτι βούλοιτο· ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Καί ποτε πεσσεύοντος αὐτοῦ παρίστατο* (Keil *παρίπτατο*) *ἡ μέλισσα· πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ Πίνδαρός δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα(ι).* vid. fr. 142, fortasse ex eodem carmine.

237. [140.]

Harpocrat. p. 41 ed. Bekk.: *Αὐτόχθονες· ... ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι.*

238. [144.]

Appollodor. Bibl. II 4, 2: *Αὗται δὲ αἱ νύμφαι (Γοργόνες) πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἣν φασιν εἶναι πήραν.* quibus vulgo et in libris adduntur haec: *Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.*

239. [149.]

Schol. Pind. Nem. VII 103: *Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε (Πίνδαρος) καλεῖν τοὺς Θεσσαλούς.*

240. [155.]

Strabo III 170: *Καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες Στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας* (C *Γαδειρίτας*), *εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.* et p. 171: *Καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα.* Cf. Eust. ad Dionys. Per. v. 64.

241. [156.]

Strabo XV 711: *Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.*

242. [163.]

Pausan. I 41, 5: *Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον* (codd. *βουλόμενος*, C. Fr. Hermann *βουλομένοις*), *ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.*

243. [176.]

Schol. Il. π 170: *καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.* Eadem Cram. An. Par. III 286, 27 ubi *πεντήκοντα ἐρεγμούς.* Boeckh *πεντηκοντηρέτμους.*

244. [178.]

Aristid. II 339: *Καί τοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (Παλαμήδην) κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι ὑπὸ τοῦ χείρονος;*

245. [180.]

Soph. Aiac. Arg.: *περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν (Αἴας), ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ τοῦ Ἡρακλέος λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινεν.*

246. [181.]

Schol. ad Il. κ 435, ubi in AD haec leguntur: Ῥῆσος γένει μὲν ἦν Θρᾴξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν· δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει· κατελθοῦσα δ' ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος. Haec contracta sunt in BLV: ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας (Ῥῆσος) πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ. Cf. Eust. 817, 28. Eudoc. 317.

247.

Pausan. IX 22, 7: Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε.

248. [189.]

Vita Homeri in Gal. Opusc. Myth. p. 283: Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον. ubi Wassenbergh censuit verba Χῖόν τε καὶ delenda esse, quemadmodum perhibet auctor vit. Hom. V ap. Westerm. Biogr. p. 28: τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος. at rursus alteram memoriam tuetur vita VI ib. p. 30 (Cram. An. Par. III 98, 13): Ἀναξιμένης καὶ Δαμάστης καὶ Πίνδαρος Χῖον τὸν Ὅμηρον ἀποφαίνονται καὶ Θεόκριτος. et similiter Tzetz. Exeg. Il. p. 7. Pindarus igitur utramque poetae summi patriam testatus erat; poterat in diversis carminibus diversam famam sequi, id quod Sengebusch Dissert. Homer. I 167 statuit, sed multo verisimilius est, quod iam Boeckh existimavit, Pindarum Homeri, quem Smyrnae natum esse statueret, in Chio insula domicilium testificatum esse. Ac fortasse huc referendum est fr. 187 καὶ λιπαρῷ Σμυρναίῳ ἄστει. Haec enim non possunt ad Pindari tempus referri, quo Smyrnae urbs nulla fuit, neque cum heroum laudibus convenit urbis memoria, sed cadunt haec bene in Homeri aetatem.

249. [189.]

Aelian. Var. Hist. IX 15: λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

250.

Philodem. de Musica col. XX, ubi improbabile dicit esse a Thaleta et Terpandro Lacedaemoniorum dissidia composita esse: τοὺς ἐ(πὶ τῶν)

ἀγώνων ἔ(τ)ερπεν ὁ Τέρ(παν)δρος· τοὺς δὲ Λάκωνας ἀ(π)ειθεῖν προα(ι)ρουμένους (τῷ) μαντείῳ κα(ὶ) [Hartung καινῷ] (λ)όγῳ δ' ἴσω(ς) προαχθέν(τ)α(ς) ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κα(τὰ) Στησίχορ(ο)ν οὐκ ἀκρι(β)ῶ(ς) ἱστο(ρεῖ)τ(αι), τ(ὸ δὲ) Π(ι)νδ(ά)ρειον, εἰ τῆς διχ(ον)οίας ἔπεισεν, οὐκ οἴδαμεν. Ceterum dubium, utrum Stesichorus de Thaleta, de Terpandro Pindarus dixerit, an utriusque testimonium ad Terpandrum sit referendum. Omnino autem quaeritur, an Pindari nomen recte sit restitutum, nam fort. scrib. τὸ δὲ Τερπάνδρειον εἰ τῆς διχονοίας ἔπαυσεν, οὐκ οἴδαμεν, ut philosophus dixerit, Stesichori testimonium de Terpandro Lacedaemonios reconciliante non satis dilucidum esse, Terpandri autem carmen, quo ad concordiam hortatus sit Lacedaemonios, utrum dissidia vere composuerit necne, incertum esse; igitur superstes etiam postera aetate fuisse Terpandri carmen foret censendum.

251. [191.]

Pausan. IX 30, 2: Ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνιεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν. Adde Plut. de mus. c. 8: γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· τούτου καὶ Πίνδαρος μνημονεύει. Carmen, quod Pausanias προοίμιον vocat, Boeckh existimat *prosodium* fuisse, mihi videtur libro III Partheniorum insertum fuisse.

252. [192.]

Tzetz. Chil. I 8: Ὡς γὰρ ὁ Πίνδαρός φησιν υἱὸς τοῦ Δαϊφάντου Ἐλθόντα πρὶν ὡς πρὸς αὐτὸν (Κροῖσον) Ἀλκμαίωνα τὸν πάνυ, Ὁπόσον δύναιτο λαβεῖν ἐκέλευε χρυσίον. Ὁ δὲ χιτῶνα περιδὺς εὐρύκολπον εἰσάγαν, Κοθόρνους τε τῶν τραγικῶν καὶ τῶν ευρυπεδίλων Τοὺς θησαυροὺς εἰσδεδυκὼς πάντα πληροῖ χρυσίου, Ὡς καὶ τὴν κόμην τὴν αὐτοῦ κατέχων τοῖς ὀδοῦσι· Τῷ τοῦ χρυσίου βάρει δὲ βαδίζειν οὐκ ἰσχύων Κροῖσον κινεῖ πρὸς γέλωτα βαδίσει καὶ τῇ θέᾳ, Ἐφ' οἷς αὐτὸν ἐκέλευσε δὶς τόσα λαβεῖν ἄλλα· Καὶ ταῦτα μὲν ὁ Πίνδαρος ὁ λυρικός που γράφει.

253. [193.]

Harpocrat. v. Ἄβαρις p. 1: Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν τρίτην αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα, ἄλλοι δὲ κατὰ τὴν κ' Ὀλυμπιάδα.

254. [194.]

Origenes adv. Cels. III p. 126 Spencer: Καὶ πρῶτόν γε τὰ περὶ τὸν Προκοννήσιον Ἀριστέαν, περὶ οὗ ταῦτά φησι (Κέλσος)· Εἶτ' Ἀριστέαν μὲν τὸν Προκοννήσιον ἀφανισθέντα τε οὕτω δαιμονίως ἐξ ἀνθρώπων καὶ αὖθις ἐναργῶς φανέντα καὶ πολλοῖς ὕστερον χρόνοις

πολλαχοῦ τῆς οἰκουμένης ἐπιδημήσαντα καὶ θαυμαστὰ ἀναγγείλαντα καὶ τοῦ Ἀπόλλωνος ἐπισκήψαντος Μεταποντίνοις ἐν θεῶν μοίρᾳ μένειν τὸν Ἀριστέαν, τοῦτον οὐδεὶς ἔτι νομίζει θεόν. Ἔοικε δ' εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου κτλ. Cf. Aeneas Gaz. in dial. Theophr. p. 77.

255. [195.]

Vita Pindari Vrat. T. II p. 9 ed. Boeckh (Westerm. p. 98): *ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου ἢ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων· καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου βασιλείας*- Boeckh *τῆς Καμβύσου βασιλείας*, Westermann *Ξέρξου*, Schneider *Δαρείου*, cf. etiam Eust. Prooem. 26.

256. [200.]

Schol. Soph. Oed. Reg. 899: *Ἄβαι, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος· ἢ διὰ τῶν Ἰαμιδῶν* (ita Boeckh, cod. *ηΔῖ σαμ̃ι*) *ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ Πίνδαρος.* Speciosa coniectura, sed fortasse scholiastae adnotatio pertinet ad proxima Sophoclis verba *οὐδὲ τὰν Ὀλυμπίαν*, ut scripserit *ἢ Δία τὸν Ὀλύμπιον (σέβων)*, et respexerit Ol. VI 5. VIII, 2.

257. [202.]

Schol. Apoll. Rhod. 1, 411: *Αἰσωνὶς πόλις τῆς Μαγνησίας, ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός φησι καὶ Φερεκύδης.* sed fort. nihil aliud dicere voluit, quam Aesonem, Iasonis patrem, a Pindaro commemoratum esse (Pyth. IV 118).

258. [288.]

Quintil. X 1, 109: „Non enim *pluvias*, ut ait Pindarus, *aquas colligit*, sed vivo gurgite exundat (Cicero)." Pindarus *συνάγειν ὕδατα ὄμβρια* dixisse videtur.

259. [289.]

Plutarch. de Pyth. orac. c. 18: *Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζει, ὅτι* * *. Ipse locus excidit.

260. [264.]

Plutarch. de sera Num. vind. c. 22 extr. de Neronis anima verba faciens: *προκεχειρισμένων δὲ καὶ ταύτῃ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσα καὶ διαφαγοῦσα τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα.* Locus obscurus, ac fortasse Pindari nomen omnino alienum.

261. [245.]

Theodor. Metoch. p. 282: *Τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι καὶ σπαράττουσι δή τινες Κῆρες ὀλβο-*

θρέμμονες, φησὶ Πίνδαρος, *μεριμναμάτων ἀλεγεινῶν* (cod. Mon. ἀλγεινῶν).

262. [251.]

Theodor. Metoch. 439: *Καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως* (*φύσιος*).

263.

Eust. Prooem. 21: *καὶ τὸ ἀμεῦσαι, ὅ ἐστι παρελθεῖν· καὶ κινῆσαι, οἷον· ἀμεύσεσθαι Νάξιον Τίσανδρον.* scr. *ἀμεύσασθαι*, cf. Hesych. *ἀμεύσασθαι, διελθεῖν* (fort. *παρελθεῖν*), *περαιώσασθαι.* Et iam apud Hesych. continuo sequitur glossa Pindarica *ἀμευσιεπής*, (vid. Fr. 280 A.) quemadmodum ap. Eustathium.

264. [249.]

Liban. Or. T. I 432 ed. Reiske: *πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.*

265 A.

Philo de caritate T. II 404 ed. Mang.: *Ἔπειτα δ' ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν οὔτε ἄνδρα οὔτε ἡμίθεον μᾶλλον ἢ δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως ἀξιῶν βαίνειν.* Ambigas, utrum *μᾶλλον ἢ οὐ δαίμονα* an *μᾶλλον δὲ δαίμονα* corrigendum sit.

265 B.

Philo de providentia II p. 120 ed. Auger.: *Pro honore* itaque, ut dixit olim Pindarus, *silentium laetabundus suscipiam.*

266.

Io. Siceliota Rhet. Gr. T. VI p. 395: *πέντε τάξεις γλυκύτητος ἐννοιῶν, ἐν αἷς κατὰ Πίνδαρον οἷς χαίρει τις, τούτοις καὶ τιμώμενος ἥδεται.*

267. [110.]

Philostr. Vit. Apoll. Tyan. VI 26: *τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς* (*Νείλου*) *ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι· πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.* cf. Phot. Bibl. 241 p. 331. Deus, quem Pindarus Nili fontibus praeesse finxit, Ganymedes videtur esse, vid. Schol. Arat. Phaen. 282: *ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ*

ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα (poeta *ἑκατοντορόγυιον* videtur dixisse) *ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν.* Eundem Pindari locum respicit Philostr. Imagg. I 5: *Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων· ἐς τοῦτον ὁ ποταμὸς βλέπει, καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι.* Egit haud dubie de hoc loco Porphyrius in libro *περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν.* vid. Suidas v. *Πορφύριος* et Eudoc. 364. Hartung haec refert ad hymnum in Ammonem.

268. [111.]

Phot. 74, 1 et Suidas v. *Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος. Πολιτείας β' οὕτω γραπτέον ... παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ. ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός. Καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμεντος. ἡ ἱστορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμασταῖς ἢ Ἡφαίστῳ.*

269. [141.]

Schol. Il. ξ 319: *αὐτὴ δὲ (Δανάη), ὥς φησιν Πίνδαρος καὶ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη.*

270.

Fulgent. Mythol. I 12: „In huius (Apollinis) etiam tutelam corvum ponunt, ... sive quod in horoscopicis libris, secundum Anaximandrum, sive etiam secundum Pindarum, solus inter omnes aves sexaginta quatuor significationes habet vocum.“ quae fides his habenda sit, satis incertum. Fortasse in commentariis ad Pyth. III 28 tale quid olim legebatur.

271. [117.]

Schol. Aesch. Eum. 11: *χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν* (Aeschylus) *αὐτὸν ἐκεῖσε Ἀπόλλωνα, κἀκεῖθεν τὴν περιπομπὴν αὐτῷ εἶναι, ὁ δὲ Πίνδαρος ἐκ Ταναγρας τῆς Βοιωτίας.* Müller coni. *Τεγύρας* Orchom. p. 147.

272. [120.]

Iulianus Epist. XIX: *Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι.* Cave haec referas ad Isthm. II 8.

273. [121.]

Liban. Epist. XXXIV: Ὁ μὲν Πίνδαρός που φησὶ μήλων τε χρυσῶν εἶναι φύλαξ, τὰ δὲ εἶναι Μουσῶν, καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν.

274. [234.]

Stob. Flor. CXI 12: Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια. Cf. Eust. Opusc. p. 124. Boiss. Anecd. Nova 140. Plut. Erot. 16: καὶ οὐχὶ ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν. Fort. *apophthegma* potius fuit, tribuiturque ab aliis Aristoteli (Diog. L. V 18), ab aliis Platoni (Aelian. V. H. XIII 29).

275. [208.]

Pausan. V 22, 6: Λέγεται δὲ ἐς μὲν Κόρκυραν, ως μιχθείη Ποσειδῶν αὐτῇ, τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία. Sed rectius videtur Unger Thebana Parad. p. 66 ad Isthm. VII 18 referre. — Quod dicit Tzetz. Exeg. Il. p. 132: λαβὼν δὲ ὁ προρρηθεὶς Ἀσωπὸς πρὸς γάμον Μετώπην τὴν Λάδωνος θυγατέρα, καθά φησι Πίνδαρος, ἐκ ταύτης γεννᾷ Θήβην, Κέρκυραν, Αἴγιναν τὴν μητέρα τοῦ Αἰακοῦ, Σαλαμῖνα, Ἅρπινναν, Νέμεαν, Κλεώνην ad Ol. VI 84 pertinet, vid. ibi schol.

276.

Probus ad Virg. Ecl. VII 61: „Pindarus initio Alciden nominatum, postea Herculem dicit ab Hera, quam Iunonem dicimus, *quod eius imperiis opinionem famamque virtutis sit consecutus.*" Idem veriloquium Matris secutus est, vid. Diod. Sic. I 24: Ἀλκαῖον ἐκ γενετῆς καλούμενον ὕστερον Ἡρακλέα μετονομασθῆναι, οὐχ ὅτι δι' Ἥραν ἔσχε κλέος, ὥς φησιν ὁ Μάτρις, ἀλλ' ὅτι τὴν αὐτὴν ἐζηλωκὼς προαίρεσιν Ἡρακλεῖ τῷ παλαιῷ τὴν ἐκείνου δόξαν ἅμα καὶ προσηγορίαν ἐκληρονόμησε. idem tamen IV 10: Διόπερ Ἀργεῖοι πυθόμενοι τὸ γεγονὸς Ἡρακλέα προσηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον. cf. oraculum ap. Tzetz. Lycoph. 662: Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, ἐξ Ἥρας γὰρ ἐν ἀνθρώποις κλέος ἄφθιτον ἕξεις. quod quidem oraculum alii (vid. Schol. Il. ξ 323) sic proferunt: ἦρα γὰρ ἀνθρώποισι φέρων κ. ἀ. ἕξεις. Alii porro sic vocatum perhibebant, quod ἀέριον κλέος ἔσχεν, vid. Cram. An. Ox. II 445. Cf. praeterea Et. M. 435, 3 et Suid. v. Ἡρακλῆς.

277. [226.]

Plato Theaetet. 173 D: Ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται (πέτεται 𝔟, et 𝔄BC in marg.) κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε (Ξ corr. ἐπί-

περθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τι τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα. unde descripsit Iamblich. Protrept. 212. Conferas etiam Clem. Alex. Str. V 707 *πέταται κατὰ Πίνδαρον τᾶς τε γᾶς ὑπένερθεν οὐρανοῦ τε ὕπερ ἀστρονομῶν καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνάμενος* (*H ἐρευνώμενος*). et Theodoret. Gr. Aff. Cur. XII 169, 11: *πανταχῇ πέταται* (D *ποτᾶται*) *κατὰ Πίνδαρον, τά τε γῆς ὑπένερθεν* (C *ὕπερθεν*) *καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανούς τε ὑπεραστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν διερευνωμένη.* Porro Galen. Protr. c. 1: *τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ Πίνδαρον ἐπισκοπεῖ.* Respicit etiam M. Antonin. II 13: *οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν, ἐρευνῶντος,* cf. Porphyr. de abstin. I p. 62. Macar. ap. Walz Arsen p. 444 *τὰ γῆς ἔνερθεν καὶ τὰ ἐπὶ πέδον. λείπει οἶδεν· ἐπὶ τῶν πολυπραγμόνων.* Plato fortasse plura quam quae notavi ex Pindaro sumsit, sed res satis incerta, neque nos iuvant reliquorum scriptorum loci, qui fere a Platone suspensi sunt. Certe non licet Pindari versus instaurare, quamquam ausus est Hartung:

ὃς πέταται τά τε γᾶς ἔνερθεν καὶ ὕπερθεν ἐρευνῶν
οὐρανοῦ θ' ὕπατ' ἄστρα.

278 A. B.

Eust. Prooem. 16: *Ἀγῶνα δὲ μνησιστέφανον, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον μνηστῆρα στεφάνων εἶπεν.* Schneidewin, *μνασιστέφανον* et *μναστῆρα.*

279. [138.]

Et. M. 60, 37: *Ἀλέρα καὶ Ἐλάρα* (Tityi mater) ... *Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον· Ἀλέρας ὄζον.* sic cum Hemsterhusio scripsi, v. *ὠσόν* (Va *υἱόν*).

280 A.

Eustath. Prooem. 21: *ὅθεν καὶ ἀμευσιεπῆ φροντίδα φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν,* Hesych. *ἀμευσιεπής· διαλλάσσουσα καὶ ἀμειβομένη τοῖς λόγοις.* Eadem Et. M. 82, 16.

280 B. [203.]

Steph. Byz. *Ἀπέσας· ... ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ.*

281. [268.]

Suidas v. *Ἀράχνη· θηλυκῶς τὸ ὕφασμα, ἀράχνης ἀρσενικῶς τὸ ζωΰφιον. ... εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ, καὶ παρὰ Καλλίᾳ.* Eadem Bekk. An. I 442, 1, nisi quod *Καλλίοις* ibi legitur: videtur scribendum *καὶ παρὰ Καλλιμάχῳ· ἔργον ἀράχνα ἀπὸ τῆς ἀράχνης ὀρθῆς.*

282.

Eust. Prooem. 21: ἁρμασιδούπους τοὺς ἱππικωτάτους.

283. [270.]

Eust. ad Od. 1406, 14: τὸ διαβάλλειν δὲ οὐ μόνον συκοφαντικὸν ἔχει νοῦν, ὅθεν καὶ ἡ διαβολή, καὶ ὁ παρὰ Πινδάρῳ διάβολος ἄνθρωπος. Idem ad Il. 128, 38: ἡγεμονεὺς καὶ ἡνιοχεὺς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν καὶ Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς. Mirum profecto vulgare hoc vocabulum, quamquam apud antiquiores non fuit frequentatum, Pindari auctoritate firmari: magis etiam mirum, quod διαβολεὺς vulgo usitata, διάβολος rarior forma dicitur: videtur Eustathius antiquioris grammatici sententiam falso interpretatus esse, qui dixerat a Pindaro formam διαβολεὺς loco vulgaris διάβολος esse adhibitam, quod fortasse olim legebatur Pyth. II 76.

284.

Eust. Prooem. 21: ἐλασίχθονα Ποσειδῶνα τὸν ἐννοσίγαιον. nisi forte Pyth. VI 50 scribendum τὶν δ' Ἐλάσιχθον pro Ἐλέλιχθον.

285.

Schol. Arist. Av. 930: ἐμὶν τεῒν· Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν. Pindarum quod dicit, finxisse videtur.

286.

Eust. Prooem. 11: ἐνίκησαν οἵ (Schneidewin ἐνίκασαν) ἤγουν οἵτινες ἐνίκησαν.

287. [271.]

Et. Gud. 193, 9: Ἐξεστηκὼς διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ Πινδάρῳ, ὁτὲ μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι, ὁτὲ δὲ τὸ ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι ἢ ἀφίστασθαι.

288.

Eust. Prooem. 21: καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ. Error grammaticorum subesse videtur.

289 [272.]

Et. M. 354, 59: Ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους· ἔπετος (V ἐπέ-
ον
τος καὶ ἐπέτειος) γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π, ὥς φησι Πίνδαρος καὶ Δημοσθένης. Ῥητορική.

Scribendum videtur *ἐπ' ἔτος γὰρ καὶ ἐπέτειον κτλ.* ut hoc exemplum ex Pindaro, illud ex Demosthene attulerit grammaticus, ut a prava, quam existimabat, aspiratione deterreret. Similia leguntur ap. Bachmann. An. I 227, 32 (ubi *ἔτος γὰρ δεῖ λέγειν*), Cram. An. Par. IV 169, 9, Zonar. 809, Suid. v. *ἐπέτειον*, quibus adde Cyrillum in Cod. Vind. n. 319: *ἐπέτειον ἐπὶ τοῦ νῦν ἕως ἔτους· ἐπέτος γὰρ δεῖ λέγειν τ. ἐ. κ. οὐχὶ ἐφέτος, ὡς φ. Πίνδαρος καὶ Δημοσθένης.*

290.

Schol. Il. ω 277: *Καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μεταΐσσων.* Ex perdito aliquo carmine haec verba petita, neque ex Ol. XIII 29 *τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα κτλ.* detorta.

291. 292. [263.]

Eust. Prooem. 16: *Καὶ Δία εὐρύζυγον* (*καλεῖ*) *ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν καὶ . . . ἐρισφάραγον.* de quo cf. idem Eust. ad Odyss. 1636, 8: *ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν.* *Pindari* fortasse versus est, quem sine poetae n. affert Et. M. 166, 53, id quod etiam Gaisford coniecit:

ἐρισφάραγος πόσις Ἥρας ἔσσεται,

sic enim scribendum, vulgo *Ἥρης ἔσται.*

293.

Cram. An. Ox. IV p. 329, 17: *τὸ Καρβὰν παρασύνθετον, Καριβόος, Καριβόαν καὶ Καρβάν, μόνον τὸ Εὔαν* (*Εὐὰν?*) *θηλυκὸν παρὰ Πινδάρῳ.* fort. huc pertinet Hesych.: *Εὐάν· ὁ κισσὸς ὑπὸ Ἰνδῶν.* Sed L. Dindorf coni. *Εὐνάν*, coll. Bekk. An. III 1376: *Εἰς ἂν θηλυκὸν οὐκ ἔχομεν· τὸ εὐνάν, εὐνᾶνος ὃ παρατίθενταί τινες ὡς θηλυκόν, νομίζοντες τὴν γυναῖκα σημαίνειν, δείκνυσι Δούπερκος ἐν τῷ περὶ γενῶν, ὅτι ἀρσενικοῦ γένους ἐστίν.*

294. [273.]

Etym. M. 404, 21: *Ἐχέτης ὁ πλούσιος, ὡς Πίνδαρος.*

295. [274.]

Eust. Il. ξ 975, 48: *ἔστι δὲ καὶ γυμναστικὴ λέξις τὸ ἀλείφειν, ἐπεὶ καὶ οἱ γυμνικοὶ ἀγῶνες εἶχον ἔλαιον, ἐξ οὗτινος ἠλαιοῦντο, εἰπεῖν κατὰ Πίνδαρον.*

296. [143.]

Schol. Il. φ 22: *καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους.* Cf. Eust. 1221, 35. Choeroboscus I 423 (Bekk. An. III 1232) *l. παιδοφύγα.* Ceterum Ioannes Alex. *τον. παραγγ.* 12, 26 *ἰχθὺν* apud Pindarum acui dicit.

297. [113.]

Lucian. Imagg. c. 8: *Συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὥστ' ἰοβλέφαρον ἐξεργάσασθαι (τὴν Ἀφροδίτην).* sic scribendum, vulgo *ὡς τὸ βλέφαρον*, sed *ἰοβλέφαρον* latere iam Solanus vidit, cf. Lucian. Imagg. c. 26: *ἕτερος δέ τις ἰοβλέφαρον τὴν Ἀφροδίτην εἶπε.*

298. [136.]

Et. M. 513, 20: *Κιδαλία . . . ἐκ Πινδάρου· χεῖρα Κιδαλίας* (M *χεῖρας ἀκιδ.*) *εἰς τὴν χεῖρα αἰτιατικὴν μὴ ποιήσῃς ἔκθλιψιν· Κιδαλία γάρ ἐστιν.*

299. [275.]

Schol. Pind. Nem. II 17: *ὀρειᾶν Πελειάδων . . . ἔνιοι διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ ῡ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς* (hacc ultima addit R). Corrupte Et. M. 517, 25 et Et. Gud. 526, 3: *κλέος. Πίνδαρος οὐκ οἶδα ὅπου, φησὶ κλεός· κελεὸς καὶ συγκοπῇ κλεός. ὀξῦναί σε δεῖ.* Lobeck Pathol. I 303 putat grammaticum errore deceptum respexisse Nem. III 83 *Κλεοῦς ἐθελοίσας*, ubi unus liber *Κλεὸς* exhibet.

300.

Eust. Prooem. 21: *κρατησιβίαν χερσὶ τὸν ῥωμαλέον.*

301. [212.]

Steph. Byz. v. *Κρήστων, πόλις Θρᾴκης ... ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ.* Meineke coni. *Πεισάνδρῳ.*

302.

Eust. Prooem. 19: *Λιτὴν δὲ Ἠῶ τὴν εὐκταίαν, καὶ ὡς ἄν τις Ὁμηρικῶς εἴποι πολύλλιστον εἴτε καὶ καθ' ἕτερόν τινα τρίλιστον.*

303. [276.]

Schol. Hom. Il. ο 137: *μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον.* cf. Schol. Lips. Il. γ 307.

304. [278.]

Apollon. Lexic. Hom. 117, 25: *ξεινοδόκος· ... ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· ἀντὶ τοῦ ἐμαρτύρησε.* Cf. Etym. M. 610, 47 et Et. Gud. 414, 36, ubi Simonidi per errorem tribuitur *ξεινοδόκησε Τελαμών*, Pindaro autem versus Simonideus. Zonar. 1415 (Mingarelli Codd. Nan. 496) similiter ex Simonide *ξ. τε λαβών* affert.

305. [279.]

Schol. Hom. Il. χ 51: ubi A *τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος.*

deinde V: ἔστι γοῦν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· ὀνομακλύτα γάρ ἐστιν. at B: κατὰ σύνθεσιν οὖν ἐστίν, ὡς τὸ τοξόκλυτος παρὰ Πινδάρῳ καὶ περίκλυτος.

306. [267.]

Schol. Eurip. Phoen. 683: ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ Ὀρεικτίτου (cod. Aug. ὀρεικτήτου, edd. Iunt. Bas. ὀρυκτῇ τοῦ) συὸς παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου. et ad v. 687 ed. Matthiae. φησὶ δὲ καὶ Πίνδαρος ὀρείκτιτον σὺν τὸν ἐν ὄρει οἰκοῦντα. Cf. etiam Schol. Pind. Pyth. II 31: καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτου συός. et Schol. Eurip. Orest. 1616: καὶ τὸ συὸς ὀρικτίτου παρὰ Πινδάρῳ.

307. 308. 309.

Eust. Prooem. 21: καὶ τὸ πέδοικος, ὅ ἐστι μέτοικος, καὶ τὸ πέδα στόμα φλέγει ἀντὶ τοῦ μετὰ στόμα, καὶ τὸ πεδασχεῖν ἤτοι μετασχεῖν.

310.

Cramer An. Ox. IV 309, 20: Ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον (Nem. XI 40) ἔφη ἀντὶ τοῦ περίοδον καὶ περιέναι τετρασυλλάβως. quamquam hoc fortasse ex Attico sermone petitum est exemplum: velut Thucyd. I 30, 3 περιόντι τῷ θέρει scripsit, ubi minime opus est mutatione περιιόντι, quam huius consuetudinis immemores critici commendant.

311. [287.]

Serv. ad Virg. Aen. V 830: *Fecere pedem*, i. e. podium, hoc est funem, quo tenditur velum, quod (l. *quem*) Graeci πόδα vocant, ut est apud Pindarum et Aristophanem.

312. 313. [182. 183.]

Eust. Il. λ 877, 55: εἶτά φησιν (Aristophanes Byz.) ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν (cf. praeterea ad Od. 1649, 5)· οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ. quod videtur factum in carmine aliquo, ubi Bellerophontem celebravit, cf. Horat. Carm. IV 2, 14: *„Per quos cecidere iusta Morte Centauri, cecidit tremendae flamma Chimaerae.*

314. [281.]

Choeroboscus II 555 (Bekk. An. III 1287): Σημειούμεθα ... καὶ τὸ ῥερίφθαι ἔπος παρὰ τῷ σοφῷ Πινδάρῳ. Cf. Cram. An. Ox. IV 185, 16 et 415, 5. An. Par. IV 226, 16.

315. [282.]

Schol. Hom. ζ 24 ubi BL: σκότιον τὸν ἐξ ἀδᾳδουχήτων γάμων νόθον λέγει, τὸ δὲ κύριον ὄνομα Σκοτίος. ABL: σκότιον ὡς λόγιον, τὸ δὲ κύριον πρὸ τέλους. ἔχει τὴν ὀξεῖαν καὶ παροξύνεται παρὰ Πινδάρῳ. cf. Cram. An. Par. III 284, 4.

316. [283.]

Et. M. 172, 10: καὶ παρὰ τούτων Δωρικῶς τουτάκι, ὡς παρὰ Πινδάρῳ· Τουτάκι πεξαμένης. Boeckh τουτάκι τε ζαμενῆς.

317. [284.]

Et. M. 249, 50 et Zonar. 466: δαυλός, ὁ δασύς, παρὰ τὸ δάσος γίνεται ῥῆμα δασῶ, ὡς τεῖχος τειχῶ, ἀφ' οὗ Πίνδαρος τετείχηται. Gaisford scripsit τετείχισται, quod est Isthm. V 44. Pyth. VI 9, contra mentem grammatici, sed potuit ille errare.

318.

Eustath. Prooem. 21: τόσσαι καλῶν· ἤγουν ἐπιτυχεῖν.

319. [219.]

Eustath. ad Dionys. Per. 467 de Sicilia Trinacria dicta, διὸ καὶ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν καὶ ὁ Πίνδαρος τριγλώχινα, nisi forte erravit, nam Choeroboscus Bekk. An. III 1424 Callimachi versum adhibet: Τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

320.

Schol. Pind. Pyth. II inscript.: καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους.

321. [285.]

Et. M. 304, 3: Κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια (ἔχουσαν). Cf. Et. Gud. 315, 12, Zonar. 1185, Eustath. Prooem. 27. Fort. imitatur Arist. Nub. 596: Δήλιε Κυνθίαν ἔχων ὑψικέρατα πέτραν.

322. [220.]

Galen. de puls. diff. VIII 681 ed. Lips. (T. III p. 38 ed. Bas.): Καίτοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος ἤ τις ᾖ (vulgo εἴη τις ἢ) Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται.

323.

Tzetz. Allegor. Il. v. 407: (Matranga Anecd. 14) Εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ πρῶτον, ὅστις ὑστέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας· τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τούτου, καὶ

πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ. ad ultimum hunc versum ascriptum scholion ap. Cram. An. Ox. III 378, 1: τούτου μέμνηται Πίνδαρος. sed fort. haec petita sunt ex schol. Pyth. V 108. Similis certe ratio Tzetz. Chil. IV 390: Ῥόδιόν ἐστιν ὄρος, τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας, αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης· Πίνδαρος καὶ Καλλίμαχος γράφει τὴν ἱστορίαν. haec enim manifesto petita ex Schol. Ol. VII 159. — Non magis alia recepi quae leguntur apud Eustathium, velut quod est in Prooem. 21: οὕτω δὲ καὶ τὸ *πρὰν* Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ ῆ γραφήν, ubi errore aliquo deceptus esse videtur Eustathius. Quod idem dicit Eust. Od. 1404, 22: καὶ αὐτοδιδάκτους εἶναι φησὶ (τοὺς ἀοιδοὺς) καὶ ὡς εἰπεῖν θυμοσόφους, καὶ κατὰ Πίνδαρον *αὐτόθεν φυᾷ εἰδότας*. referendum ad Ol. II 86 — Quae leguntur ap. Eust. Il. 381, 38: καὶ ὅτι Πίνδαρος ζηλώσας *νίκῃ μίγνυσθαι* τὸ νικᾶν καὶ ἔργῳ *μίγνυσθαι* τὸ ἐργάζεσθαι καὶ ἕτερα τοιαῦτα. cf. ad Od. 1428, 34: *μίγνυνται* ἀθληταί, Πινδαρικῶς εἰπεῖν, *νίκαις*. ea exempla ficta sunt haud dubie. — Nec magis ambigere licet de alio loco Eust. Il. 346, 5: εἰ δὲ καὶ *Τυφάων* ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεὺς γὰρ καὶ Τυφάων, Τυφάονος, ὅθεν τὸ *Τυφαονίων ἀλαλητῶν* (Oppiani est, vid. Eust. Od. 1659, 51), καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν δικαταληξίᾳ Τυφῶς. Sunt haec ad commentarios in Pindarum referenda. — Quod dicit Tzetzes Epist. p. 23 ed. Pressel: εὐπαλάμων τε ὕμνων τελοῦντι κατὰ Πίνδαρον τέκτονι *Cratini* est, vid. Aristoph. Eq. 530. De aliis vid. Boeckh T. II 1 p. XXIX seq. et T. II 2 p. 685 seq.

Pindari fortasse fr. delitescit ap. Schol. Il. β 373: ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται. ubi cod. V addit: ὅθεν ἔτι *ὀφθαλμὸν ἔσεσθαι τὴν Ἑλλάδα ἔφα*, καί· *Σικελίας τ' ἔσαν ὀφθαλμοί* (vid. Pind. Ol. II 9). conieci olim: *ὀφθαλμὸν ἔσσεσθαί νιν Ἑλλάδος ἔφα*. De aliis versibus, qui probabiliter ad Pindarum referri possunt, vide *Fragmenta Adespota*.

E P I G R A M M A.

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ᾽, ἀνθρώποις μέτρον ἔχων σοφίης.

Epigramma hoc legitur apud Proclum ad Hesiod. p. 7 ed. Gaisf. *Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε· Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν, ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης. Ἐπέγραψε δὲ καὶ Πίνδαρος· χαῖρε κτλ.* eademque totidem verbis Ioh. Tzctz. vit. Hes. p. 17. Omnino vita Hesiodi, quae Proclo tribuitur, huic abiudicanda: est enim prorsus indigna homine hoc erudito et modesto: nugae et convicia, qnibus inquinata est, satis superque testificantur a Tzetza esse conscriptam, (vidit hoc etiam Rose Aristot. Pseudepigr. 508 seqq.) atque congruit mirum in modum cum altera vita, quae ipsius Tzetzae nomen prae se fert, si a paucis quibusdam discesseris, velut quae leguntur de sacerdote caupone: haec aut sobrii iudicii librarius praetermisit, aut Tzetzes cum opusculum suum rectractaret addidit. Proclus de vita et carminibus Hesiodi nihil commentatus erat, id ipsum Tzetzes p. 10 ei opprobrio vertit, itaque ut hoc suppleret, haec praemisit, aliunde ut solet furatus, quae alicnius momenti sunt. Repetitum autem est hoc epigramma ex Aristoteliis libris de Orchomeniorum republica, qnod cognovimus ex Append. Proverb. IV 92: *Τὸ Ἡσιόδειον γῆρας· Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· Χαῖρε κτλ. παρόσον τό τέ γῆρας ἀπέβη καὶ δὶς ἐτάφη·* Pindari ibi nomen non commemoratur, sed tuetur Suidas: *Τὸ Ἡσιόδειον γῆρας· ἐπὶ τῶν ὑπεργήρων· φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτον· Χαῖρε κτλ.* Aristotelis hoc libro etiam Tzetzes utitur p. 15, de Stesichori et Hesiodi necessitate verba faciens, quem librum ea levitate atque audacia, qua a nostri demnm saeculi hominibns superatur, philosopho abiudicat, hand dubie quod similitudinem quandam intercedere inter hos titulos et Pepli epigrammata animadvertit. Tzetzem ipsius Aristotelis librum nunquam vidisse certum est: crederes libro de certamine Homeri et Hesiodi magis integro usum esse, at hunc librum si vidisset, mnlto plura inde esset mntuatus. — Iam si Tzetzae fides est, Pindari hoc epigramma fuit eidem monumento inscriptum, in quo quatuor illi versns, quos sec. Pausan. IX 38, 10 Orchomenii Chersiae tribuebant. — V. 1. *τάφου*, *τάφον* App. Paroem., *τάφων* tres codd. Suidae (ABE).
